Ἡ τῶν ἐπάρχων ψῆφος ἐγκλήτῳ οὐχ ὑπόκειται, πλὴν ἀναψηλαφᾶται. ἀνάγνωθι βι. α΄ τοῦ κώδ. τί. δ΄ διάτ. η΄ καὶ τί. ιθ΄ διάτ. δ΄ καὶ ε΄, βι. ζ΄ τί. μβ΄ διάτ. α΄

1 et lib. VII tit. 62 const. 6, et disces. Nec te lateat Nov. LXXXVI, sed et hanc legas et disces de eo, qui per annotationem iudicat.

2. Tertio appellare nemo potest; didicisti scilicet lib. VII Cod. tit. 70 const. 1, recte aliquem secundo in eadem causa appellare.

3. Contumax non appellat. Memineris Nov. LXV et legas lib. III Cod. tit. 3 const. 13 et lib. VII tit. 65 const. 1.

4. Appellationes a sacris iudicibus, qui Constantinopoli sunt, post duo menses fatalem habent, nulla super iis reparatione competente. Lege lib. VII Cod. tit. 63 const. 2 et 5.

5. Appellationes a sacris iudicibus ab iis, qui illis lites commiserunt, intra II menses deciduntur. Lege lib. III Cod. tit. 1 const. 18.

6. Sacri iudices, si cognoscunt, binos aureos accipiunt, pro consessu et pro sententia in litibus, quae super C aureos sunt; si vero lites usque ad C aureos sint, nihil accipiant. Legas lib. III Cod. tit. 2 const. 5, et disces de sportulis et mercedibus: haec vero disponit etiam Nov. CXXIV.

7. Sacri iudices habeant II exceptores et II exsecutores, et accipiant II libras auri pro annona.

8. Iudex, si victori iuramentum de expensis cum taxatione detulerit,....nec te lateat Nov. CXII. Si vero de iuramento a iudice deferendo discere vis, legas lib. VII tit 45 const. 11; de expensis autem legas lib. III Cod. tit. 1 const. 13 et lib. VII tit. 51 const. 4 et 5.

9. Nemo iuret, sese iudice contentum fore vel arbitrum sumere, poena non adiecta, sed omnino poenam definiat, et, si iudicato non fuerit contentus, poenam praestet, de novo litigans. Legas lib. II Cod. tit. 55 const. 4, quae innovata est. Scias etiam const. 5 eiusdem tituli ac libri hodie non procedere, quae dicat, posse sine periculo intra X dies eum, qui contentus esse nolit, a sententia arbitri recedere; nam secundum quod hic dictum est, omnino poenae conventione opus est etiam in arbitro.

10. Omnes magistratus recipiant appellationes, quae adversus eos porriguntur. Lege lib. VII Cod. tit. 62 const. 2 et 15 et 21 et 24 et 31.

11. Praefectorum sententia appellationi non est obnoxia, sed retractatur. Legas lib. I Cod. tit. 4 const. 8 et tit. 19 const. 4 et 5, lib. VII tit. 42

5) Cod. REPARATATίονος.

6) Inclusa desunt in Codice, sed necessario erant supplenda.

7) Numerum Codex non habet.

8) In Cod. non est lacunae signum: sed complura exciderunt. Novella 82 c. 10: „εἴπερ ὅρκον ἐπαγάγοι περὶ τῶν δαπανημάτων ὁ δικαστὴς τῷ νενικηκότι, δηλαδὴ μετὰ τῆς φαινομένης αὐτῷ ὀρθῶς ἔχειν ποσότητος, ἣν δὴ ταξατίωνα καλοῦσιν οἱ νόμοι, εἶτα ἐκεῖνος ἐπομόσοιτο, μὴ ἔχειν ἄδειαν τὸν δικαστὴν εἰς ἐλάττονα τῶν ὀμωμοσμένων καταδικάζειν .... εἰ μέντοι συνείδοι μὴ δεῖν μηδέτερον τῶν μερῶν τῷ τῶν δαπανημάτων ὑποθεῖναι λόγῳ διὰ το τῆς ὑποθέσεως ἴσως ποικίλον, αὐτὸ τοῦτο διορίζεσθαι ψήφῳ.“ Athanasius (Heimbach Ἀνέκδ. I p. 58 sq. p. 78): „ἐὰν περὶ δαπανημάτων ὅρκον ὁ δικαστὴς ἐπαγάγῃ τῷ λιτιγάτορι, δύναται τὴν διὰ τοῦ ὅρκου δηλωθεῖσαν ἀπομειοῦν ποσότητα, ἀναιρεῖν δὲ τοῖς δικαζομένοις τὸν περὶ ζημιωμάτων καὶ ἀναλωμάτων λόγον οὐ κωλύεται.“ Hinc lacuna, quae in Codice est, suppleri debebit: praeterea vero ante verba: καὶ μὴ λάθῃ σέ allegationes quaedam locorum similium desunt, veluti: ἀνάγνωθι βι. γ΄ τοῦ κώδ. τί. α΄ διάτ. ιε΄.

9) Cod. δικαζομένω. — Verti „de novo litigans“: sed et sic intelligi potest: „a deo poenam exspectans.“

10) Cod. σημεῖον.

καὶ τί. ξβ' διάτ. ιθ' καὶ τί. ο' διάτ. α'· μέμνησο δὲ τῆς κγ' νεαρᾶς καὶ ἀνάγνωθι τὴν ριγ' νεαράν.

Πᾶς δικαστὴς ἀκολουθείτω τοῖς νόμοις, κἂν ἐναντίαν δέξηται κέλευσιν. ἀνάγνωθι βι. γ' τοῦ κώδ. τί. α' διάτ. ια' καὶ ιβ' καὶ νεαρὰν ριγ'.

Οἱ δικασταὶ περὶ νόμου ἀμφιβάλλοντες μηνυέτωσαν βασιλεῖ. ὅμοιόν φησιν ἡ ριγ' νεαρά. ἐξεφωνήθη μηνὶ ἀπριλίῳ τῆς ὑπατείας ἀπίονος ἔτει ιβ' τῆς βασιλείας ἰουστινιανοῦ.

const. 1 et tit. 62 const. 19 et tit. 70 const. 1; memineris etiam Nov. XXIII, et legas Nov. CXIII.

12. Quilibet iudex leges sequatur, licet contrariam accipiat iussionem. Lege lib III Cod. tit. 1 const. 11 et 12 et Nov. CXIII.

13. Iudices, si de lege dubitent, ad imperatorem referant. Simile quid dicit Nov. CXIII. *Data mense Aprili Consule Apione anno XII imperii Iustiniani.*

Νεαρὰ πγ'.

Περὶ κληρικῶν δικαζομένων.

Πολλοὺς ἱεροὺς γεγραφότες νόμους.

Οἱ κληρικοὶ παρὰ τοῖς ἰδίοις ἐπισκόποις ἐναγέσθωσαν, ἢ παρὰ τοῖς ἄρχουσιν, ἔνθα μέντοιγε οὐ δύνανται οἱ ἐπίσκοποι τεμεῖν τὴν ὑπόθεσιν, ἀπολαύοντες ὅμως τῶν δεδομένων αὐτοῖς προνομίων. ἰστέον γάρ, ὅτι ὁ ἔχων δίκην πρὸς κληρικὸν ὀφείλει πρῶτον τῷ ἐπισκόπῳ αὐτοῦ προσελθεῖν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. λβ' καὶ λς' καὶ νεαρὰν ρκγ'.

Ἐπὶ τῶν ἐγκλημάτων ὑποκείσθωσαν τοῖς ἄρχουσι καὶ οἱ κληρικοί, πρότερον γυμνούμενοι τῆς ἱερατείας [παρὰ][1]) τοῦ ἐπισκόπου αὐτῶν, καὶ οὕτως, εἰ δεήσοι, τιμωρηθῶσι, δῆλον δὲ ὅτι ἐξεταζομένης τῆς ὑποθέσεως ἐντὸς β' μηνῶν παρὰ τοῖς ἄρχουσι. πλὴν ἴσθι, ὅτι ἐὰν ἐκκλησιαστικὸν εἴη τὸ ἁμάρτημα, μόνος ὁ ἐπίσκοπος ἐξετάζει αὐτὸ τὸν δέοντα σωφρονισμὸν ἐπάγων. ἀνάγνωθι βι. α' τί. γ' διάτ. λβ' καὶ λς' καὶ τί. δ' διάτ. κθ' καὶ νεαρὰν ρκγ'. ἐξεφωνήθη μηνὶ ἰουνίῳ τῆς βασιλείας ἔτει ιγ' ὑπατείᾳ ἀπίονος.

Novella LXXXIII.

De clericis litigantibus.

Plurimas sacras scribentes leges.

1. Clerici apud episcopos suos conveniantur, vel apud magistratus, siquidem episcopi causam decidere nequeant, ita tamen, ut privilegiis, quae ipsis data sunt, gaudeant. Sciendum enim est, eum, qui litem cum clerico habet, primum ad episcopum eius accedere debere. Lege lib. I Cod. tit. 3 const. 32 et 36 et Nov. CXXIII.

2. In criminibus magistratibus subiaceant etiam clerici, prius sacerdotio privati per episcopum suum, et ita, si conveniat, puniantur, causa videlicet intra duo menses a magistratibus inquirenda. Sed scias, si ecclesiasticum sit delictum, solum episcopum in id inquirere et convenientem castigationem inducere. Lege lib. I Cod. tit. 3 const. 32 et 36 et tit. 4 const. 29 et Nov. CXXIII. *Data mense Iunio imperii anno XII Consule Apione.*

Νεαρὰ πδ'.

Περὶ ἀδελφοπαίδων.

Πολλοῖς πανταχόθεν.

Προτιμῶνται οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ τῶν καταγομένων ἐκ διαφόρων γονέων περὶ τὴν διαδοχὴν τῶν ἀδελφῶν. ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. νη' διάτ. ιε' καὶ τί. νθ' διάτ. α' καὶ νεαρὰν ριη'.

Οἱ ἐκ τῶν αὐτῶν γονέων τεχθέντες προτιμητέοι εἰσὶ τοῦ ἰδίου πατρὸς εἰς τὴν διαδοχὴν τοῦ αὐτῶν ἀδελφοῦ. ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. νς' διάτ. ζ', ἀλλ' ἴσθι, ὅτι τοῦτο ἀναιρεῖ ἡ ριη' νεαρά, καὶ ἀνάγνωθι αὐτήν.

Ἐὰν ἀδελφῷ τελευτῶντι οὐχ ὕπεισιν ἀδελφοὶ ὁμοπάτριοι καὶ ὁμομήτριοι ὄντες, κρατείτωσαν οἱ παλαιοὶ νόμοι ἐπὶ τῆς διαδοχῆς αὐτοῦ. ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. νθ' διάτ. α' καὶ νεαρὰν ριη'. ἐξεφωνήθη μηνὶ ἰουλίῳ βασιλείας ἔτει ιγ' ὑπατείᾳ ἀπίονος.

Novella LXXXIV.

De fratrum liberis.

Multis undique.

1. Praeferuntur fratres ex iisdem parentibus nati in successione fratrum suorum iis, qui ex diversis parentibus descendunt. Lege lib. VI Cod. tit. 58 const. 15 et tit. 59 const. 1 et Nov. CXVIII.

2. Qui ex iisdem parentibus nati sunt, praeferendi sunt patri suo in successione fratris sui. Legas lib. VI Cod. tit. 56 const. 7, sed scias hoc tolli Nov. CXVIII, et legas eam.

3. Si frater moriens non habeat fratres ex eodem patre et eadem matre natos, antiquae leges obtineant in successione eius. Lege lib. VI Cod. tit. 59 const. 1 et Nov. CXVIII. *Data mense Iulio imperii anno XIII Consule Apione.*

---

1) Deest in Codice: ex contextu Novellae supplevi.

Νεαρὰ πε'.

Περὶ ὅπλων.

Τὸν μέγαν θεὸν καὶ σωτῆρα ἡμῶν.

Οἱ φαβρικένσιοι μόνον τὰ ὅπλα κατασκευαζέτωσαν, καὶ τῷ ἀρμαμέντῳ αὐτὰ εἰσφερέτωσαν. ἀνάγνωθι βι. ια' τί. ι' διάτ. α' καὶ β' καὶ ε' καὶ ς', καὶ μαθήσῃ τὰ περὶ τῶν φαβρικενσίων.

Οἱ δεπουτάτοι φροντιζέτωσαν τῆς τῶν ὅπλων ἐπιμελείας.

Οἱ βαλλιστάριοι ἑκάστου ἀριθμοῦ τὰ γινόμενα ὅπλα τῷ δημοσίῳ εἰσφερέτωσαν κινδύνῳ τῶν πατέρων τῶν πόλεων, [ἐπεὶ] [1]) ποιναῖς ὑποβάλλονται. μέμνησο τοῦ τέλους τῆς ιζ' νεαρᾶς. ἐξεφωνήθη μηνὶ ἰουνίῳ τῆς βασιλείας ἔτει ιγ' ὑπατείᾳ ἀπίονος.

Novella LXXXV.

De armis.

Magnum deum et salvatorem nostrum.

1. Solum fabricenses arma fabricent, eaque armamento inferant. Lege lib. XI [Cod.] tit. 10 const. 1 et 2 et 5 et 6, et disces, quae ad fabricenses spectant.

2. Deputati prospiciant armorum procurationi.

3. Ballistarii cuiusvis numeri arma, quae facta sunt, fisco inferant periculo patrum civitatium; alioquin poenis subiiciuntur. Memineris Nov. XVII circa finem. *Data mense Iunio imperii anno XIII Consule Apione.*

Νεαρὰ πς'.

Περὶ τοῦ συνακροᾶσθαι ὑπόπτῳ ὄντι ἄρχοντι τὸν ἐπίσκοπον.

Ἐξ οὗπερ ἡμᾶς.

Πᾶς ἔχων ἀμφισβήτησιν χάριν ἐγκληματικῆς ἢ χρηματικῆς αἰτίας προσίτω τῷ ἄρχοντι, καὶ εἰ ῥαθυμήσῃ, προσέλθῃ τῷ ἐπισκόπῳ, ὅπως ἀναγκάσῃ τὸν ἄρχοντα δι' ἄλλου ἢ δι' ἑαυτοῦ σὺν τῷ δικαίῳ τεμεῖν τὸ ἀμφισβητούμενον· εἰ δὲ ὑπερθῆται ὁ ἄρχων ἢ ἀδίκως ψηφίσηται, τότε μηνυέτω ὁ ἐπίσκοπος τῷ βασιλεῖ.

Τῷ ὑπόπτῳ ἄρχοντι συνακροάσθω ὁ ἐπίσκοπος. καὶ σημείωσαι, ἢ φιλικῶς ἢ κατὰ παρασημείωσιν [1]) ἢ διαγνωστικῶς, νομίμως μέντοι, τεμνέτωσαν τὴν ὑπόθεσιν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. δ' διάτ. ζ', ἔνθα εἴρηται, ὡς τοῖς θέλουσι καλῶς δικάζει ὁ ἐπίσκοπος. τὸ δὲ ἐνταῦθα κείμενον περὶ ὑπόπτου νόει περὶ μόνου ἄρχοντος καὶ μὴ ἐπὶ παντὸς δικαστοῦ· μάλιστα τοῦ διδομένου παρὰ βασιλέως δικαστοῦ ὄντος ὑπόπτου [2]) αἱρετὸν ἀναγκάζεται [3]) δέξασθαι, ὡς κεῖται βι. γ' τοῦ κώδ. τί. α' διάτ. ις' [4]).

Ἐάν τις μὴ προσελθὼν πρῶτον τῷ ἄρχοντι [ἀδικηθῇ, προσίτω] [5]) τῷ ἐπισκόπῳ τῶν τόπων, ὅστις κρινέτω καὶ ἐκβιβαζέτω τὰ τῆς ὑποθέσεως· εἰ δὲ ὁ ἄρχων τὴν ἔννομον κρίσιν τοῦ ἐπισκόπου παραιτήσηται, ποιναῖς ὑποκείσθω· κεῖται γὰρ βι. α' τοῦ κώδ. τί. δ' διατ. η', ὡς ἡ τῶν ἐπισκόπων ψῆφος ἔγκλητον οὐ δέχεται. πλὴν ἀνάγνωθι τὴν ρκγ' νεαράν, ἔνθα φησίν, ὅτι ἀναψηλαφᾶται ἡ τῶν ἐπισκόπων ψῆφος.

Novella LXXXVI.

Ut cum suspecto praeside simul episcopus iudicet.

Ex quo nos.

1. Quilibet, qui propter criminalem vel civilem causam controversiam habet, praesidem adeat, et, si negligens fuerit, ad episcopum accedat, ut is praesidem cogat, per alium aut per semet ipsum, secundum quod iustum est, controversiam decidere; sin autem moram fecerit praeses aut iniustam sententiam tulerit, tunc episcopus hoc referat imperatori.

2. Cum suspecto praeside simul episcopus iudicet. Et nota, vel amicabiliter vel per annotationem vel cognitionaliter, legitime tamen, causam decidant. Legas lib. I Cod. tit. 4 const. 7, ubi dictum est, volentibus episcopum recte iudicare. Quod autem hic de suspecto dictum est, de praeside tantum accipe, non de quolibet iudice; maxime si, qui ab imperatore datus est iudex, suspectus fuerit, arbitrum eligere cogitur, sicuti statutum est lib. III Cod. tit. 1 const. 16.

3. Si quis, qui primum non adiit praesidem, ab eo laedatur, ad episcopum locorum accedat, qui causam diiudicare et exsequi debet; quodsi praeses legitimam episcopi decisionem recusaverit, poenis subiaceat: dicitur enim lib. I Cod. tit. 4 const. 8, episcoporum sententiam appellationem non recipere. Sed legas Nov. CXXIII, ubi dicitur, retractari episcoporum sententiam.

---

1) Deerat in Codice: sed aliquid huiusmodi supplendum erat.

1) Cf. supra Nov. LXXXII, et quae adnotavit *Heimbachius* ad Basil. tom. I p. 243 not. x.

2) Codex corrupte: *μάλιστα τοῦ διδομένου παρὰ βασιλέως δικαστὴν ὡς ὕποπτον.*

3) Sc. qui eum recusavit.

4) In Cod. qui numerus esset perscriptus, dubius fui: sed videtur significari const. 16.

5) Cod. corrupte: *Ἐάν τις μὴ προσελθὼν πρῶτον τῷ ἄρχοντι ἢ τῷ ἐπισκόπῳ κ. τ. λ.* Nov. 86 c. 4: „*εἰ — συμβῇ τινα τῶν — ὑπηκόων παρ' αὐτοῦ τοῦ — ἄρχοντος ἀδικηθῆναι, κελεύομεν αὐτὸν προσελθεῖν τῷ — ἐπισκόπῳ.*"

Οἱ τοῖς ἄρχουσιν ὑπουργοῦντες ἀπαλλαττέτωσαν τοὺς προσερχομένους, καί, εἰ λάβωσί τι πλέον τῶν ὡρισμένων τοῖς νόμοις, τιμωρείσθωσαν. ἀνάγνωθι βι. γ' τοῦ κώδ. τί. β' διάτ. ε'.

Ὁ ἐπίσκοπος παραβλέπων τὸ δίκαιον πρὸς τὸ κεχαρισμένον τινί, κανονικῷ ἐπιτιμίῳ ὑποβαλλέσθω.

Ἄρχοντος μὴ ὄντος ἐν τοῖς τόποις, κρινέτω ὁ ἔκδικος ἅμα τῷ ἐπισκόπῳ τὰ ἐμπίπτοντα. ἔγνως δὲ ἐν τῇ ιε' νεαρᾷ, ὅτι τὸν ἀπόντα ἄρχοντα τοποτηρεῖ ὁ ἔκδικος. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. δ' διάτ. κα', ἔνθα φησίν, ὅτι πολιτικοῦ ἄρχοντος μὴ ὑπόντος κρίνει ὁ στρατιωτικὸς τὸ ἀνακύπτον.

Μήτε μοναχὸς μήτε κληρικὸς μήτε ἐπίσκοπος ἀνέλθῃ ἐν κωνσταντινουπόλει χωρὶς γραμμάτων τοῦ ἐπισκόπου, τουτέστι τοῦ μητροπολίτου, ἐπεὶ ἐκπίπτει τοῦ σχήματος. ὁμοίως φησὶν ἡ ρκγ' νεαρά.

Ἀνατρεπέτω ὁ ἄρχων ἰδίῳ κινδύνῳ τοὺς πλείονας σπούρτουλα λαμβάνοντας καὶ σωφρονιζέτω αὐτούς· εἰ γὰρ ἀμελήσῃ τοῦτο ποιῆσαι, μηνυέτω τῷ βασιλεῖ ὁ ἐπίσκοπος, καὶ ὁ μὲν ἁμαρτήσας ἐκπίπτει ἀξίας καὶ στρατείας τιμωρούμενος, ὁ δὲ ἄρχων αὐτὸς ποιναῖς καὶ τιμωρίαις ὑποβαλλέσθω. ὁμοίως φησὶν ἡ ιζ' 6) *νεαρά. ἐξεφωνήθη ἔτει ιγ' τῆς βασιλείας ὑπατείᾳ ἀπίονος.*

4. Officiales praesidum eos, qui accedunt, dimittant, et, si quid ultra, quam legibus definitum est, acceperint, puniantur. Lege lib. III Cod. tit. 2 const. 5.

5. Episcopus, qui ius contemnit in gratiam alicuius, canonicae poenae subiiciatur.

6. In quibus locis praeses non commoratur, defensor una cum episcopo, quae inciderint, diiudicet. Didicisti enim in Nov. XV, absentis praesidis vicem sustinere defensorem. Legas lib. I Cod. tit. 4 const. 21, quae dicit, si civilis magistratus non sit, militarem decidere, quod emerserit.

7. Neque monachus neque clericus neque episcopus Constantinopolin adeat, absque literis episcopi sive metropolitae; alioquin schemate excidit. Similiter loquitur Nov. CXXIII.

8. Praeses suo periculo rescindat, si qui nimias sportulas exegerint, eosque castiget; quodsi hoc facere neglexerit, episcopus ad imperatorem referat, et sic, qui deliquit, dignitate et militia excidit et punitur, praeses vero ipse mulctis et poenis subiiciatur. Similiter loquitur Nov. XVII. ***Data anno XIII imperii Consule Apione.***

Νεαρὰ πζ'.

Περὶ δωρεῶν εἰς βουλευτὰς γινομένων.

Τὰς τῶν βουλευτῶν κακουργίας.

Ἡ μόρτις καῦσα δωρεὰ λεγάτον ἐστίν, καὶ δύναται ὁ θέλων ἐν αὐτῇ ἀποτάξασθαι τοῦ ὅρου 1) *τῆς ἀνακλήσεως. ἀνάγνωθι βι. η' τί. νς'* 2)*, καὶ μαθήσῃ τὰ περὶ τῶν μόρτις καῦσα δωρεῶν.*

Ἡ μόρτις καῦσα δωρεὰ οὐ δεῖται πράξεως ὑπομνημάτων. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. λη' καὶ βι. ε' τί. ιβ' διάτ. λα' καὶ τί. ις' διάτ. κε' καὶ βι. η' τί. νε' διάτ. δ' καὶ ς' καὶ λδ' καὶ λς' 3)*, καὶ μέμνησο τῆς νβ' νεαρᾶς, καὶ ἀνάγνωθι τὴν ριθ' καὶ ρκζ', ὅπως γνώσῃ, ποῖαί εἰσιν ἄλλαι δωρεαὶ μὴ δεόμεναι* 4) *πράξεως ὑπομνημάτων.*

Οὐδὲ μόρτις καῦσα δωρεὰς οἱ βουλευταὶ δύνανται ποιεῖν εἴς τινας, ἀλλὰ μόνον παρέχουσιν 5) *ἕδνων ἐπιδόσεις ὑπὲρ ἑαυτῶν καὶ τῶν οἰκείων παίδων ἢ προικῶν* 6) *ἐπιδόσεις ὑπὲρ τῶν θυγατέρων αὐτῶν, κατὰ τὸ συγκεχωρημένον* 7) *αὐτοῖς μέντοιγε μέτρον, τουτέστι τὰς γ' οὐγκίας. ἀνάγνωθι τὴν ρα' νεαρὸν καὶ βι. ι' τί. λδ' διάτ. δ', ἔνθα μαθήσῃ ἄλλα* 8) *περὶ τούτου.*

Novella LXXXVII.

De donationibus in curiales collatis.

Curialium malignitates.

1. Mortis causa donatio legatum est, et potest, qui vult, in ea renuntiare revocationi. Legas lib. VIII Cod. tit. 56, et disces, quae ad mortis causa donationes pertinent.

2. Mortis causa donatio actorum insinuatione non indiget. Legas lib. I Cod. tit. 3 const. 38 et lib. V tit. 12 const. 31 et tit. 16 const. 25 et lib. VIII tit. 55 const. 4 et 6 et 34 et 36 (?), et memineris Nov. LII, et legas Nov. CXIX et CXXVII, ut discas, quae sint praeterea donationes, quae actorum confectione non indigeant.

3. Ne mortis quidem causa donationes curiales in alios conferre possunt, sed solum propter nuptias donationes pro semet ipsis filiisve suis vel dotes pro filiabus suis constituunt, scilicet secundum modum iis permissum, hoc est ad tres uncias. Legas Nov. CI et lib. X tit. 34 const. 4, ubi alia de hoc disces.

---

6) Codicis scriptura dubia est: *ιη'* legere mihi sum visus. Qui numerus quum non quadraret, *ιζ'* scripsi: quamquam magis etiam aptus sit numerus *ρκδ'*.

1) Bas. *τοὺς ὅρους*.

2) Sic Bas. Cod.: *ς'*.

3) Verba *καὶ λδ' καὶ λς'* in Basilicis desunt, nec habet tit. 55 ultra decem constitutiones; sed const. 34 et 36, quae laudantur, sunt tituli 53 (*de donationibus*). Unde forte legendum: *τί. νγ' διάτ. δ' καὶ ς' καὶ λδ' καὶ λς'*. licet et in Bas. *τί. νε'* allegetur.

4) Bodl. *αἱ ἄλλαι δωρεαὶ αἱ μὴ δεόμ.*

5) Deest in Bodl.

6) Bodl. *προικώων*.

7) Cod. *συγκεχωρισμένον*.

8) Bodl. *τά*.

Ὁ βουλευτης καλῶς πωλεῖ[9]) κατὰ τὴν παρατήρησιν τῶν νόμων. ἀνάγνωθι βι. ι΄[10]) τί. λδ΄ διάτ. α΄, γ΄, ε΄ καὶ τί. λε΄ διάτ. δ΄[11]).

Ὁ μὴ ὢν βουλευτὴς οὐ κωλύεται ποιεῖσθαι[12]) μόρτις καῦσα δωρεάς. ἐξεφωνήθη μηνὶ ἰουνίῳ ἔτει ιγ΄ βασιλείας ὑπατείᾳ ἀπίονος[13]).

4. Curialis recte vendit secundum legum observantiam. Lege lib. X Cod. tit. 34 const. 1, 3, 5 et tit. 35 const. 4.

5. Qui non est curialis, non prohibetur mortis causa donationes facere. *Data mense Iunio anno XIII imperii Consule Apione.*

Νεαρὰ πη΄.

Περὶ παραθήκης, καὶ διαμαρτυρίας ἐνοίκων, καὶ περὶ ἀναρτήσεως χορηγίας ἄρτων.

Δίκης ἔναγχος.

Ὁ παραθήκην δεξάμενος ἐπί τισιν ὅροις πληρουμένων τῶν δοξάντων ἀποκαθιστάτω αὐτήν, μὴ κωλυόμενος ἀφ᾿ οἱουδήποτε ὥστε αὐτὴν διδόναι, ἀλλὰ καὶ ὁ παραγγέλλων αὐτῷ μὴ ἀποκαταστῆσαι ὑποκείσθω τοῖς συμβησομένοις κατὰ τύχην τῷ παρατεθέντι πράγματι[1]), καὶ ἀπαιτείσθω τοὺς ἀπὸ τρίτου[2]) ἑκατοστῆς τόκους, κἂν μὴ χρυσίον εἴη τὸ παρατεθέν. ἀνάγνωθι βι. δ΄ τοῦ κώδ. τί. λδ΄ διάτ. ε΄ καὶ ς΄ περὶ[3]) τῶν δοξάντων ἐπὶ ταῖς παραθήκαις, καὶ διάτ. ια΄ τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου περὶ τῶν γενομένων παραγγελιῶν ἀλόγως[4]) ἐπ᾿ αὐταῖς πάλιν ταῖς παραθήκαις[5])· μέμνησο δὲ καὶ τῆς ογ΄ νεαρᾶς.

Μηδεὶς ὑπεύθυνον εἶναι[6]) νομίζων τινὰ κωλυέτω τὴν[7]) τῶν πολιτικῶν ἄρτων ἢ τὴν τῶν ἐνοικίων χορηγίαν αὐτοῦ· ἐπεὶ[8]) κινδυνεύει εἰς τὴν ἀπώλειαν αὐτῶν καὶ τρίτον[9]) ἑκατοστῆς τόκον παρέχει τῶν ἀπολλυμένων[10]). ἀνάγνωθι βι. α΄ τοῦ κώδ. τί. μδ΄ διάτ. α΄ καὶ β΄ περὶ ἄρτων καὶ ἀννόνων, καὶ βι. δ΄ [τί. λδ΄] διάτ. ια΄[11]) περὶ παρακατασχέσεως.

Πᾶσα δεφενσίων μετὰ ἀσφαλείας ἐγγυητοῦ γενέσθω. ἐξεφωνήθη μηνὶ σεπτεμβρίῳ ἔτει τῆς βασιλείας ιγ΄ ὑπατείᾳ ἀπίονος.

Novella LXXXVIII.

De deposito, et denuntiatione inquilinorum, et de suspensione erogationis panum.

Litem nuper.

1. Qui depositum accepit sub quibusdam conditionibus, his, quae placuerunt, impletis, id restituat, nec a quoquam prohibeatur, quominus id reddat: sed et qui ei denuntiat, ne restituat, rei depositae periculum subeat, et trientes usuras praestet, licet aurum non sit, quod depositum est. Legas lib. IV Cod. tit. 34 const. 5 et 6 de his, quae in depositis placuerunt, et const. 11 eiusdem tituli et libri de denuntiationibus, quae sine causa similiter in depositis fiunt; memineris etiam Nov. LXXIII.

2. Nemo, si quem sibi obnoxium esse credit, impediat, quominus ei panes civiles vel aedium pensiones erogentur; alioquin periculum interitus eorum subit, et trientes usuras praestat pro iis, quae interierunt. Lege lib. I Cod. tit. 44 const. 1 et 2 de panibus et annonis, et lib. IV tit. 34 const. 11 (?) de retentione.

3. Omnis defensio sub fideiussoria cautione procedat. *Data mense Septembri anno imperii XIII Consule Apione.*

---

9) Bodl. ποιεῖ.
10) Sic Bodl. — Cod. γ΄.
11) Sic Bodl. — In Codice literarum ductus dubii sunt: quamquam ε΄ mihi legere visus sum. In nostris editionibus hic titulus (35 *Quando et quibus*) tres tantummodo constitutiones habet: quartam et fortassis etiam quintam deesse voluit *Biener Revision des just. Codex.* Berl. 1838 S. 185. Contra sentit *Witte* die leges restitutae S. 240.
12) Bodl. ποιῆσαι
13) Bodl. ἀππίωνος.
1) *Fabrotus* male: τῶν παρατεθέντων πραγμάτων.
2) Bas. τρίτης.
3) Cod. καὶ περί.
4) Basil. *Fabroti:* ἀλόγων παραγγελιῶν.
5) Bas. ἐν ταῖς παραθήκαις vel παρακαταθήκαις.
6) Bas. ὄντα.
7) Sic et Basil. *Fabroti*. Cod. Coislin. Basilicorum τὰ habet, quod nescio quomodo *Heimbachius* senior in editione Basilicorum recipere potuerit.
8) Bas. ἐπειδή.
9) Bas. τρίτης.
10) Basil. *Fabroti:* τῷ ἀπολυμένῳ. (*Heimbachius* iunior in Ἀνεκδ. I p. 243 ἀπολυομένῳ scribit.) Cod. Coislin. Basil. τῷ ἀπολλυμένῳ.

11) Cod. βι. δ΄ διάτ. α΄. — *Heimbachius* senior in editione Basil. II p. 65: „ἀνάγνωθι βιβ. ια΄ τοῦ κώδ. τιτ. μδ΄ διατ. α΄. β΄. περὶ ἄρτων καὶ ἀννόνων, καὶ βιβ. δ΄ τιτ. α΄ περὶ κατασχέσεως,“ addens in not. u: „Fabr. ita: ἀνάγνωθι βιβλίον ια΄ τοῦ κώδικος τιτ. κε΄ καὶ τιτ. κη΄ διατ. ια΄. Nihilosecius in translatione latina: *Lege librum 11 Codicis tit. 25 et 28 constitut. 2 de panibus et annonis et lib. 4 tit. 34 constit. 11.* Unde patet Fabrotum in textu huius scholii constituendo negligenter esse versatum et plura in versione, quam in textu exhibuisse. Cod. Coisl. ut in textu.“ — *Heimbachius* iunior in Ἀνεκδ. tom. I p. 243 in textu Fabroti lectionem exhibet, in notis autem lectionem Codicis Coisliniani profert, et ad Fabrotum haec notat: „Ergo unus versus, qui in Graecis deest, excidisse videtur, fortasse incuria Fabroti (?). Ego, ut in versione posui, legendum esse censeo.“ (Ponit autem in versione: Lege librum 11 Codicis tit. 25 const. 1 et 2 de panibus et annonis et lib. 4 tit. 34 const. 11 de retentione.) „De tit. 25, qui in nostris edit. 24 est, vide Wittium in libro: *die leges restitutae des Iustin. Codex* p. 80, Bienerum in libro: *Revision des Iustin. Codex* p. 70.“ — Quid? quod Theodorus sic scripsisse videtur: ἀνάγνωθι βι. α΄ τοῦ κώδ. τί. μδ΄ διάτ. α΄ καὶ β΄ καὶ βι. ια΄ τί. κε΄ καὶ κη΄ διάτ. α΄ καὶ β΄ περὶ ἄρτων καὶ ἀννόνων, καὶ βι. δ΄ τί. λδ΄ διάτ. ια΄ περὶ παρακατασχέσεως.

Νεαρὰ πθ'.

Περὶ νόθων.

Τὸ τῶν νόθων ὄνομα.

Προικφῶν ὑπόντων καὶ μὴ ὑπόντων γνησίους ποιεῖ τοὺς παῖδας ἡ πρὸς τὴν αὐτῶν μητέρα ἐλευθέραν[1]) οὖσαν γαμικὴ διάθεσις γενομένη παρὰ τοῦ οἰκείου πατρός. ἀνάγνωθι τὴν ριζ' νεαρὰν καὶ βι. ε' τοῦ κώδ. τί. δ' διάτ. θ' καὶ ιγ' καὶ κβ' καὶ τί. κζ' διάτ. ε'.

Νόθοι εἰσὶν οἱ ἐξ ἐλευθέρας γενόμενοι παῖδες, πρὸς ἣν οὐκ εἶχεν ὁ πατὴρ αὐτῶν γαμικὴν διάθεσιν. τὸ αὐτὸ δέ ἐστιν ἐπὶ τῶν ἀπὸ δούλης τεχθέντων καὶ ἐλευθερωθέντων· κἀκεῖνοι γὰρ νόθοι νοοῦνται ἤτοι φυσικοί. μέμνησο τῆς λη' καὶ οδ' νεαρᾶς, καὶ ἀνάγνωθι τὰς ὑποκειμένας διατάξεις τῷ κζ' τί. τοῦ ε' βι. τοῦ κώδικος.

Ὁ ἐπιδοὺς τῇ βουλῇ τοὺς νόθους αὐτοῦ παῖδας, κἂν μὴ βουλευτής ἐστι, γνησίους αὐτοὺς ποιεῖ, καὶ ὑπόντων[2]) αὐτῷ γνησίων παίδων· τὸ αὐτὸ δέ ἐστιν κἂν ἐν διαθήκῃ εἴπῃ βούλεσθαι εἶναι αὐτοὺς βουλευτάς. μέμνησο τῆς οδ'[3]) νεαρᾶς, καὶ ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. κζ' διάτ. γ'[4]) καὶ δ' καὶ θ'. σημείωσαι δέ, ὅτι καὶ οἱ ἰλλούστριοι ὀφείλουσιν ἐπιδοῦναι τῇ βουλῇ τοὺς νόθους αὐτῶν παῖδας πρὸς τὸ εἶναι αὐτοὺς γνησίους.

Οἱ νόθοι, γνησίων μὴ ὑπόντων παίδων, καὶ μετὰ τὴν τοῦ πατρὸς αὐτῶν τελευτὴν εἰ ἐπιδώσουσιν ἑαυτοὺς τῇ βουλῇ, γνήσιοι γίνονται· ὑπόντων δὲ γνησίων οὐ δύνανται τοῦτο ποιῆσαι, κἂν ἐκ τοῦ πατρὸς αὐτῶν ἐπιδίδονται τῇ βουλῇ, ὡς ἑξῆς μαθήσῃ[5]). καὶ σημείωσαι τὴν διαφοράν, καὶ μέμνησο τῆς οδ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. κζ' διάτ. δ'. ἰστέον δὲ ἐκ τῆς παρούσης πθ' νεαρᾶς, ὡς ἐπιδίδοταί τις τῇ βουλῇ ἢ ἐν θέᾳ ἢ ἐπὶ πράξεως ὑπομνημάτων ἢ ἐν διαθήκῃ, καὶ ὅτι οὐκ ἔῤῥωται ἡ ἐπίδοσις, εἰ μὴ καταδέξηται αὐτὴν ὁ ἐπιδιδόμενος παῖς.

Ἐὰν βυζάντιος ἢ ῥωμαῖος εἴη[6]), τῇ βουλῇ ἐκείνης τῆς πόλεως δίδοται, ἐξ ἧς[7]) καὶ ὥρμηται[8]) ἢ ὑφ' ἣν διατελεῖ.

Τὰ εἰρημένα ἐπὶ ἄῤῥενος υἱοῦ διδομένου τῇ βουλῇ κρατεῖ καὶ ἐπὶ θυγατρὸς διδομένης, ἐὰν ὁ ἀνὴρ αὐτῆς βουλευτής ἐστιν ἢ ἐπιδίδοται καὶ αὐτὸς τῇ βουλῇ. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί.[9]) κζ' διάτ. γ' καὶ δ'.

Οἱ ἐκ δούλης παῖδες ἐλευθερούμενοι, εἰ τῇ βουλῇ [ἐπιδίδονται][10]), γνήσιοι γίνονται, γνησίων μέντοι μὴ ὑπόντων. πλὴν ἴσθι, ὅτι οἱ τοιοῦτοι παῖδες, εἰ ἐλευθερωθῶσι, δύνανται ἑαυτοὺς [τῇ βουλῇ ἐπιδιδόναι][10]), γνησίας πάλιν μὴ ὑπούσης γονῆς.

Ὁ ἐξ ἐπιδόσεως νόθος παῖς γνήσιος γενόμενος οὐ λαμβάνει ἐκ τῶν πατρῴων πραγμάτων πλέον ἑνὸς υἱοῦ γνησίου, τοῦ καὶ εἰς ἐλάχιστον μέρος γραφέντος κληρονόμου ὑπὸ τοῦ πατρός, τουτέστι τοῦ νομίμου ποστημορίου. σημείωσαι δέ, ὅτι οὐκ εἶπε τοῦτο κρατεῖν ἐπὶ

Novella LXXXIX.

De naturalibus [liberis].

Naturalium nomen.

1. Sive facta sint dotalia instrumenta sive non sint facta, liberi legitimi fiunt, si erga matrem eorum, quae quidem libera sit, nuptialem affectum pater habuerit. Lege Nov. CXVII et lib. V Cod. tit. 4 const. 9 et 13 et 22 et tit. 27 const. 5.

2. Naturales sunt liberi, qui ex libera muliere fiunt, erga quam pater eorum non habuit nuptialem affectum. Idem est in iis, qui ab ancilla nati et manumissi sunt: nam et hi *νόθοι* sive naturales esse intelliguntur. Memineris Nov. XXXVIII et LXXIV, et legas constitutiones, quae subsunt tit. 27 lib. V Codicis.

3. Qui filios suos naturales curiae offert, licet ipse non sit curialis, legitimos eos facit, quamvis ei legitimi liberi sint; idem est et si in testamento dixerit se velle, ut illi curiales sint. Memineris Nov. LXXIV, et legas lib. V Cod. tit. 27 const. 3 et 4 et 9. Nota vero, quod etiam illustres curiae offerre debent filios suos naturales, ut legitimi fiant.

4. Naturales, si legitimi liberi non sint, etiam post patris sui obitum si se curiae obtulerint, legitimi fiunt; sin legitimi subsint, facere hoc non possunt, licet a patre suo curiae offerri possint, sicuti mox disces. Et notes differentiam, et memineris Nov. LXXIV, et legas lib. V Cod. tit. 27 const. 4. Sciendum autem est secundum praesentem Nov. LXXXIX, quod aliquis curiae offertur vel in spectaculo vel sub actorum confectione vel testamento, et quod non valet oblatio, nisi ei accesserit filius, qui offertur.

5. Si Byzantius vel Romanus sit, curiae eius urbis offeratur, ex qua oriundus est vel cui subiectus est.

6. Quae de filio curiae oblato dicta sunt, valent etiam in filia oblata, scilicet si maritus eius curialis sit vel et ipse curiae offeratur. Lege lib. V Cod. tit. 27 const. 3 et 4.

7. Qui ex ancilla nati et manumissi sunt, si curiae offeruntur, legitimi fiunt, siquidem legitimi non subsint. Sed scias, eiusmodi liberos, si manumissi fuerint, posse semet ipsos curiae offerre, siquidem et hic legitima soboles non subsit.

8. Naturalis filius, qui ex oblatione legitimus factus est, non accipit ex paternis rebus plus quam unus ex legitimis, qui in minimam partem a patre heres scriptus sit, hoc est plus quam legitimam portionem. Nota vero, quod hoc non dixit valere in iis, qui

---

1) Cod. ἐλευθεροῦσαν.

2) Cod. ὑπὸ τῶν.

3) Cod. οη'.

4) Cod. γιγ'.

5) Haec corrupta esse crediderim: certe illud ἑξῆς non est apte positum, quum iam c. 3 de patre offerente dictum sit.

6) Hic forte nonnulla exciderunt. Vide Nov. 89 c. 2 §. 2. 3.

7) Cod. ἐξῆς.

8) Cod. ὅρμηται.

9) Cod. τῆς pro τί.

10) Inclusa utroque loco in Cod. desunt.

τῶν γενομένων γνησίων τῇ ποιήσει τῶν προικῴων συμβολαίων. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. κζ' διάτ. β' καὶ ς' καὶ η', καὶ μέμνησο τῆς λη' καὶ οη' νεαρᾶς, διερχόμενος καὶ πᾶσαν τὴν παροῦσαν πθ' νεαράν.

Εἴτε υἱὸς εἴτε θυγάτηρ καταδέξονται τὴν τῆς βουλῆς ἐπίδοσιν, οὐ δύνανται ἀποστῆναι τῆς πατρῴας οὐσίας, ἀλλὰ καί, εἴ τι λάβωσιν ἐξ αὐτῆς, ἐνέχονται εἰς αὐτὸ μηδὲν ἧττον βουλεύοντες. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. κζ' διάτ. δ'.

Ὁ νόθος παῖς γενόμενος γνήσιος μόνου τοῦ πατρὸς αὐτοῦ γίνεται γνήσιος, οὐκέτι δὲ καὶ τῶν κατιόντων ἢ τῶν ἀνιόντων ἢ τῶν ἐκ πλαγίου συγγενῶν τοῦ πατρὸς γίνεται γνήσιος. οὐ γὰρ κληρονομεῖ αὐτοὺς οὔτε κληρονομεῖται ἐξ αὐτῶν χωρὶς διαθήκης. καὶ σημείωσαι ξένον νόμιμον.

Βουλευτὴς εἰ μὲν ἔχει γνησίους παῖδας, μὴ ὄντας δὲ βουλευτάς, καλῶς κληρονομεῖται εἰς μέρος ὑπ' αὐτῶν· εἰς δὲ τὸ ἄλλο μέρος κληρονομεῖται ὑπὸ τῆς βουλῆς καὶ τοῦ δημοσίου. εἰ δὲ ὅλως παῖδας οὐκ ἔχῃ, λαμβάνει ἡ βουλὴ καὶ ὁ δημόσιος θ' οὐγκίας τῶν πραγμάτων αὐτοῦ ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου, τὰς δὲ λοιπὰς γ' οὐγκίας οἱ ἐξ ἀδιαθέτου αὐτοῦ ἢ οἱ γεγραμμένοι ὑπ' αὐτοῦ κληρονόμοι λήψονται. μέμνησο τῆς λη' νεαρᾶς, καὶ ἀνάγνωθι βι. ι'. τοῦ κώδ. τί. λε' διάτ. β' καὶ γ' καὶ δ' καὶ ε'[11]).

Ὁ τοῦ βουλευτοῦ διάδοχος δύναται διὰ προσελεύσεως ἐπιδοὺς ἑαυτὸν τῇ βουλῇ καὶ τὸ ἁρμόζον αὐτῇ μέρος ἀναλαβεῖν. τοῦτο δὲ καὶ ἐπὶ τοῦ μὴ ὄντος διαδόχου βουλευτοῦ κρατεῖ. ἀνάγνωθι βι. ι' τοῦ κώδ. τί. λε' διάτ. α' καὶ β'.

Ὁ βουλευτὴς νόθους παῖδας ἔχων, γνησίων αὐτῷ μὴ ὑπόντων, δύναται αὐτοὺς ἐπιδοῦναι τῇ βουλῇ· καὶ τότε γὰρ καλῶς γράφει αὐτοὺς κληρονόμους εἰς τὸ πᾶν ἢ εἰς τὰς θ' οὐγκίας ὡς βουλευτάς. ἐὰν δέ τινες ἐξ αὐτῶν μὴ θελήσωσι βουλεύειν, προσαύξεται τὸ μέρος αὐτῶν τοῖς μὴ παραιτουμένοις· καὶ εἰ πάντες παραιτήσονται, τότε ἡ βουλὴ καὶ τὸ δημόσιον τὰς θ' οὐγκίας λαμβάνει, τὰς δὲ ἄλλας γ' οὐγκίας αὐτοὶ λήψονται, ἐπειδὴ γνήσιοι ὤφθησαν τῇ ἐπιδόσει ἢ τῇ γραφῇ. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. κζ διάτ. β' καὶ η', καὶ μέμνησο τῆς λη' νεαρᾶς.

Τοῦ βουλευτοῦ τελευτῶντος χωρὶς διαθήκης, λαμβάνουσιν οἱ ἐξ ἀδιαθέτου αὐτοῦ γ' οὐγκίας, γνησίων μὴ ὑπόντων παίδων, οἱ δὲ νόθοι αὐτοῦ παῖδες τὰς ἄλλας θ' οὐγκίας λήψονται, ἐὰν τῇ βουλῇ ἑαυτοὺς ἐπιδώσωσιν· εἰ γὰρ μὴ ἐπιδώσωσιν ἑαυτοὺς τῇ βουλῇ, οὐ γίνονται γνήσιοι οὐδὲ τὰς θ'[12]) οὐγκίας λήψονται, ἀλλὰ προτιμῶνται αὐτῶν οἱ ἐξ ἀδιαθέτου [τοῦ][13]) πατρός. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. κζ' διάτ. β' καὶ η', καὶ μέμνησο τῆς λη' νεαρᾶς.

Τὰ δὲ εἰρημένα κρατεῖ καὶ ἐπὶ τῶν τεχθέντων ἐκ δούλης τῷ βουλευτῇ καὶ ἐλευθερουμένων, δηλονότι ἐὰν ἐπιδοθῶσι τῇ βουλῇ, γνησίας πάλιν γονῆς μὴ ὑπούσης· εἰ γὰρ μὴ θελήσωσι βουλεῦσαι, τότε τὰς θ' οὐγκίας ἡ βουλὴ καὶ τὸ δημόσιον λαμβάνουσιν.

Ἡ τῶν προικῴων ποίησις γνησίους ποιεῖ οὐ μόνον τοὺς ὄντας παῖδας, ἀλλὰ καὶ τοὺς τεχθησομένους. ὁμοίως

confectione dotalium instrumentorum legitimi facti sunt. Lege lib. V Cod. tit. 27 const. 2 et 6 et 8, et memineris Nov. XXXIV et LXXVIII, et percurras praesentem Nov. LXXXIX totam.

9. Sive filius sive filia in curiae oblationem consenserint, non possunt se a paternis bonis abstinere, sed et, si quid inde acceperint, ad hoc obligati sunt et nihilosecius curiae munera subeunt. Lege lib. V Cod. tit. 27 const. 4.

10. Naturalis filius, qui legitimus fit, solum patri suo legitimus efficitur, non autem descendentibus vel ascendentibus vel collateralibus patris legitimus efficitur; neque enim iis heres est neque illi ipsi heredes sunt absque testamento. Et nota hanc legem utpote singularem.

11. Curialis, si legitimos liberos habeat, qui curiales non sint, recte eos ex parte heredes habet: in alteram vero partem curia et fiscus succedunt. Sin omnino liberos non habeat, curia et fiscus IX uncias ex bonis eius sive ex testamento sive ab intestato accipiunt, reliquas vero III uncias iis, qui ipsi ab intestato sunt vel qui in testamento ab eo scripti sunt, heredes accipient. Memineris Nov. XXXVIII, et legas lib. X Cod. tit. 35 const. 2 et 3 et 4 et 5.

12. Decurionis successor potest imperatorem adire et ita semet curiae offerre et partem, quae huic competit, recipere. Quod etiam in eo obtinet, qui non est decurionis successor. Lege lib. X Cod. tit. 35 const. 1 et 2.

13. Curialis qui naturales liberos habet, quum ei non sint legitimi, potest illos curiae offerre; tunc enim recte eos tanquam decuriones ex asse vel ex novem unciis heredes scribit. Quodsi quidam ex his curiales fieri noluerint, eorum pars accrescit iis, qui non recusant; sin omnes recusent, tunc curia et fiscus novem uncias accipit, reliquas vero tres uncias ipsi accipient, quippe propter oblationem sive testamentum pro legitimis habendi. Lege lib. V Cod. tit. 27 const. 2 et 8, et memineris Nov. XXXVIII.

14. Si curialis sine testamento moriatur, qui ab intestato eius heredes sunt, tres uncias accipient, si legitimi liberi non subsint, naturales vero liberi eius reliquas novem uncias accipient, si se curiae obtulerint: quodsi semet curiae non obtulerint, non fiunt legitimi nec novem istas uncias accipient, sed iis praeferuntur illi, qui patri ab intestato heredes sunt. Lege lib. V Cod. tit. 27 const. 2 et 8, et memineris Nov. XXXVIII.

15. Quae dicta sunt, obtinent etiam in iis, qui decurioni ex ancilla nati et manumissi sunt, scilicet si curiae oblati sint et legitima soboles non subsit; quodsi curiales fieri noluerint, tunc novem uncias curia et fiscus accipiunt.

16. Dotalium instrumentorum confectio legitimos facit non solum liberos iam existentes, sed et eos,

11) Vide supra Nov. LXXXVII not. 11.
12) Cod. γ'.

13) In Cod. deest.

φησὶν ἡ ιθ' καὶ ἡ οδ' νεαρά. ἀνάγνωθι βι. ε'[14]) *τοῦ κώδ. τί. κζ' διάτ. ε' καὶ ς' καὶ ζ' καὶ ι'.*

Τὸ τικτόμενον ἀκολουθεῖ πρὸς τὸ συμφέρον αὐτῷ, τουτέστιν ἢ τῷ καιρῷ τῆς συλλήψεως ἢ τῷ χρόνῳ τοῦ τοκετοῦ.

Ὁ ἔχων μόνον νόθους παῖδας δύναται, καὶ μὴ ποιήσας προικῷα τῇ μητρὶ αὐτῶν ἔκ τινος περιστάσεως, διὰ τῆς ἰδίας διαθήκης ἢ δι' ἀντιγραφῆς βασιλέως γνησίους αὐτοὺς ποιεῖν. μέμνησο τῆς οδ' καὶ ἀνάγνωθι τὴν ριζ' νεαρὰν καὶ βι. ε' τί. κζ' διάτ. ε' καὶ ς'. σημείωσαι δέ, ὅτι οὐδεὶς τρόπος τῶν περὶ γνησιότητος ἀναιρεῖται, καὶ ὅτι οὐ συνιστᾷ ὑπεξουσιότητα ὁ πατὴρ μὴ θελόντων τῶν παίδων. ἀνάγνωθι βι. η' τοῦ κώδ. τί. μη' διάτ. γ' καὶ δ'.

Καὶ γνησίων παίδων ὑπόντων[15]) *δύνανται οἱ νόθοι γνήσιοι εἶναι ἢ διὰ βουλευτικῆς ἐπιδόσεως ἢ διὰ προικῴων ποιήσεως. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. κζ' διάτ. ε' καὶ ς', καὶ μέμνησο τῆς λη' νεαρᾶς.*

Ὁ ἔχων νόθους παῖδας, εἴπερ ἔχει καὶ γνησίους, οὐ δύναται ἐᾶσαι αὐτοῖς τοῖς νόθοις ἐν διαθήκῃ περαιτέρω μιᾶς οὐγκίας ἅμα τῇ μητρὶ αὐτῶν· εἰ δὲ οὐκ ἔχει νόθους παῖδας, ἀλλὰ παλλακὴν μόνον, τότε ἥμισυ οὐγκιον[16]) *καταλιμπάνει αὐτῇ τῇ παλλακῇ. ἐὰν δὲ γνησίους παῖδας οὐκ ἔχει, ἀλλὰ νόθους μόνον, τότε καλῶς γράφει αὐτοὺς καὶ εἰς πᾶσαν τὴν οὐσίαν αὐτοῦ κληρονόμους ἐν τῇ ἰδίᾳ διαθήκῃ, ἐὰν μέντοιγε μὴ ἔχῃ*[17]) *ἀνιόντας· τούτοις γὰρ ὀφείλει φυλάξαι τὸ νόμιμον ποστημόριον, τὸ δὲ λοιπὸν τῆς αὐτοῦ ὑποστάσεως δύναται καταλιπεῖν αὐτοῖς τοῖς νόθοις αὐτοῦ υἱοῖς. καὶ σημείωσαι· τὰ γὰρ ἄνω ῥηθέντα περὶ παίδων βουλευτῶν κρατεῖ, ἐφ' ὧν καὶ ἐλέχθη. καὶ ταῦτα μὲν περὶ τοῦ ἔχοντος νόθους παῖδας καὶ διατιθεμένου. εἰ γὰρ ἐξ ἀδιαθέτου τελευτήσει τὶς ἔχων νόθους υἱούς, εἰ μὲν οὐκ ἔχει γνησίους παῖδας οὐδὲ γαμετήν, καλῶς λαμβάνουσιν οἱ νόθοι σὺν τῇ ἰδίᾳ*[18]) *μητρὶ β' οὐγκίας· εἰ δὲ γνησίαν σπορὰν ἔχῃ ἢ γυναῖκα νομίμην, οὐδὲν λήψονται ἐξ ἀδιαθέτου οἱ νόθοι αὐτοῦ παῖδες, ὅσον κατὰ τὴν διαστολὴν τῆς προκειμένης πθ' διατάξεως*[19]), *οὐ μὴν ἀλλὰ καὶ κατὰ τὴν παρατήρησιν τῆς ιη' ὁμοίως νεαρᾶς· πλὴν ὀφείλουσιν λαβεῖν*[20]) *ἅμα τῇ οἰκείᾳ μητρὶ κατὰ φιλανθρωπίαν μίαν μόνον οὐγκίαν, ἥντινα καὶ ἐκ διαθήκης συγχωροῦνται λαβεῖν*[21]) *καὶ γνησίων υἱῶν ὑπόντων*[22]) *κατὰ τὰ εἰρημένα ἀνωτέρω καὶ κατὰ τὴν ιη' νεαράν. πλὴν σὺ ἴσθι τὸ λεχθὲν περὶ τῶν μὴ ὄντων ἀπὸ βουλευτῶν νόθων παίδων· ἐκεῖνοι γὰρ οἱ τῶν βουλευτῶν τούτων νόθοι παῖδες οὐ κληρονομοῦσι τοὺς ἰδίους γονεῖς, ὡς ἔγνως ἐν τῇ λη' νεαρᾷ. ἀνάγνωθι βι. ε' τί. κζ' διάτ. ζ' καὶ η' καὶ ιβ', καὶ μέμνησο τῆς ιη' νεαρᾶς.*

Οἱ ἐκ διαφόρων παλλακῶν παῖδες οὐ κληρονομοῦσι τὸν ἴδιον πατέρα, ὑπόντων γνησίων παίδων ἢ γαμετῆς ἢ ἄλλων διαδόχων αὐτοῦ· ἀλλὰ μόνον[23]),

qui nascituri sunt. Similiter loquitur Nov. XIX et LXXIV. Lege lib. V Cod. tit. 27 const. 5 et 6 et 7 et 10.

17. Qui nascitur, meliorem conditionem sequitur, hoc est vel eam, quae fuit tempore conceptionis, vel eam, quae est tempore partus.

18. Qui solum naturales liberos habet, etiamsi cum matre eorum non fecerit dotalia instrumenta propter aliquam causam, potest eos testamento suo vel per rescriptum principis legitimos facere. Memineris Nov. LXXIV et legas Nov. CXVII et lib. V tit. 27 const. 5 et 6. Nota vero, quod nullus modus legitimationis sublatus est, et quod pater invitos liberos sub potestatem redigere non potest. Lege lib. VIII Cod tit. 48 const. 3 et 4.

19. Et si legitimi liberi subsint, naturales legitimi fieri possunt vel per curiae oblationem vel per confectionem dotalium instrumentorum. Legas lib. V Cod. tit. 27 const. 5 et 6, et memineris Nov. XXXVIII.

20. Qui naturales liberos habet, si etiam legitimos habeat, non potest naturalibus testamento plus relinquere quam unam unciam una cum matre eorum; sin naturales liberos non habeat, sed concubinam tantum, tunc dimidiam unciam concubinae relinquit. Quodsi legitimos liberos non habeat, sed naturales tantum, tunc recte eos vel in omnem substantiam suam heredes in testamento suo scribit, siquidem ascendentes non habeat; his enim legitimam portionem servare debet, reliquam autem substantiam filiis naturalibus relinquere potest. Et nota hoc; nam. quae supra dicta sunt de liberis decurionum, in his solum obtinent, de quibus dicta sunt. Et haec quidem de eo, qui naturales liberos habet, et testamentum facit. Nam si intestatus quis moriatur filios naturales habens, si quidem legitimos liberos vel uxorem non habeat, naturales cum matre eorum recte II uncias accipiunt; si vero legitimam sobolem habeat vel uxorem legitimam, liberi eius naturales ab intestato nihil accipient, quantum ad distinctionem praesentis Nov. LXXXIX atque etiam similiter ad observantiam Nov. XVIII attinet: sed humanitatis ratione una cum matre ipsorum unam duntaxat unciam accipere debent, quam etiam, si legitimi liberi subsint, ex testamento capere iis permissum est secundum supra dicta et secundum Nov. XVIII. Praeterea quod dictum est de liberis naturalibus accipe, qui non ex decurionibus descendunt; nam decurionum naturales liberi parentibus suis non fiunt heredes, sicuti didicisti in Nov. XXXVIII. Legas lib. V Cod. tit. 27 const. 7 et 8 et 12, et memineris Nov. XVIII.

21. Liberi, qui ex diversis concubinis procreati sunt, patri suo non succedunt, si is legitimos liberos vel uxorem vel alios successores habeat: sed

---

14) Cod. *βι. β' καὶ ε'.*
15) Cod. *μὴ ὑπόντων.* — Sed cf. Nov. 89 c. 11 §. 1: „*ὅλως γὰρ γνησίων ὑπόντων, εἶτα νόθων ἐπιγενομένων ἢ προγενομένων, οὐκ ἂν ἡ γνησιότης αὐτοῖς προστεθείη, εἰ μὴ πάντως ἢ διὰ τῆς βουλῆς ἢ διὰ τῶν ἡμετέρων διατάξεων, αἵπερ τὸν τῶν προικῴων συμβολαίων εἰσηγήσαντο τρόπον.*"
16) Cod. *ἥμισυ ἕν.*
17) Cod. corrupte: *ἐὰν τῇ ἰδίᾳ διαθήκῃ μέντοιγε εἰ μὴ ἔχῃ.*
18) Bodl. *οἰκείᾳ.*
19) Bodl. *νεαρᾶς.*
20) Bodl. *λαμβάνειν.*
21) Cod. *μὴ ὑπόντων*, quod ex Bodl. correxi.
22) Cod. *μᾶλλον.* Sed Bodl. *μόνον τρέφονται.*
23) Bodl. *ἐὰν οὐ διέθετο.*

ἀποτρέφονται ἐκ τῶν κληρονομούντων τὸν πατέρα αὐτῶν, ἔνθα μὴ διέθετο μέντοιγε[24]). *ὁμοίως φησὶν ἡ ιη' νεαρα.*

Τὰ εἰρημένα περὶ φυσικῶν ἢ νόθων υἱῶν κρατεῖ καὶ [ἐπὶ] ἐγγόνων.

Ὥσπερ κληρονομοῦνται οἱ ἀνιόντες ὑπὸ τῶν φυσικῶν αὐτῶν κατιόντων, οὕτω καὶ κληρονομοῦσιν αὐτούς ὁμοίως. ἀνάγνωθι βι. ϛ' τοῦ κώδ. τί. νε' διάτ. ε'[25]).

Εἰς τὰ ὑπὸ τοῦ πατρὸς καταλελειμμένα τοῖς φυσικοῖς παισὶ δυνατὸν καὶ ἐπίτροπον ἐαθῆναι κομφιρματευόμενον. ἔξεστι δὲ καὶ τὴν αὐτῶν μητέρα καταλιπεῖν ἐπίτροπον. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. κθ' διάτ. δ'.

Οἱ ἀπὸ κεκωλυμένων γαμων τικτόμενοι παῖδες οὐδὲ τῆς τῶν νόθων ἀξιοῦνται προσηγορίας. ὁμοίως φησὶν ἡ οδ' νεαρά. ἐξεφωνήθη μηνὶ σεπτεμβρίῳ ἔτει τῆς βασιλείας ιγ' ὑπατείᾳ ἀπίονος.

solum alimenta ab iis accipiunt, qui patri ipsorum heredes exstiterunt, scilicet si is non sit testatus. Similiter loquitur Nov. XVIII.

22. Quae de naturalibus vel nothis filiis dicta sunt, etiam in nepotibus obtinent.

23. Quemadmodum naturales descendentes ascendentibus succedunt, ita etiam hi illis succedunt. Lege similiter lib. VI Cod. tit. 55 const. 5.

24. In ea, quae naturalibus liberis a patre relicta sunt, potest iis etiam tutor dari, qui confirmari debet: et licet [patri] etiam matrem eorum tutricem relinquere. Lege lib. V Cod. tit. 29 const. 4.

25. Qui ex prohibitis nuptiis nascuntur, ne naturalium quidem nomine digni habentur. Similiter loquitur Nov. LXXIV. *Data mense Septembri anno imperii XIII Consule Apione.*

Νεαρὰ ϟ.

Περὶ μαρτύρων.

Ἡ τῶν μαρτύρων πρὸς τὰς ἀποδείξεις χρεία[1]).

Ἀξιόπιστοι ἔστωσαν οἱ μάρτυρες. ἀνάγνωθι βι. δ' τοῦ κώδ. τί. κ' διάτ. θ', ἔνθα φησίν, ὅτι χρὴ τὸν δικάζοντα προσέχειν τοῖς τιμιωτέροις[2]) *τῶν μαρτύρων.*

Οἱ ἄγνωστοι τῶν μαρτύρων καὶ βασανιζέσθωσαν, εἰ δεήσοι[3]), *ὑπὸ τῶν ἀρχόντων ἢ ὑπὸ τοῦ* PRAETORος *τοῦ δήμου*[4]), *ἢ ὑπὸ τοῦ ἐκδίκου, ἡνίκα μὴ ἄρχων ἐστὶν ὁ δικάζων καὶ οὐ δύναται τοῦτο ποιῆσαι. ἀνάγνωθι βι. δ' τοῦ κώδ. τί. κ' διάτ. ιγ' καὶ ιε', ἔνθα φησὶ τοὺς ψευδομαρτυροῦντας τιμωρεῖσθαι παρὰ τοῖς δικασταῖς.*

Οἱ μαρτυροῦντες περὶ χρεῶν ἐγγράφων εἰπάτωσαν, [ὡς ἂν][5]) *τῇ καταβολῇ παρῆσαν ἐπὶ τούτου καὶ μόνον*[6]) *προσκληθέντες, δηλονότι ἐὰν εἰσιν*[7]) *ε' τὸν ἀριθμὸν κατὰ*[8]) *τὴν ιη' διάταξιν τοῦ κ' τί. τοῦ δ' βι. τοῦ κώδικος. τὸ γὰρ εἰρημένον ἐν τῇ α' διατάξει τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου ὡς κατὰ ἐγγράφων ἄγραφος μαρτυρία οὐ φέρεται*[9]), *μὴ δέξῃ ἐπὶ χρεῶν· ὑφεξῄρηται γὰρ τὸ περὶ αὐτῶν ἐνταῦθα καὶ ἐκεῖσε νομοθετηθέν*[10]).

Οὐκ εἰσὶ δεκτέοι οἱ λέγοντες, ὅτι ἤκουσαν τόνδε[11]) *χρεωστεῖν τῷδε ἢ τόνδε*[12]) *καταβάλλειν τῷδε*[12]) *χρυσίον ἢ τόνδε λαβεῖν χρυσίον παρὰ τοῦδε, κἂν ταβουλάριοί εἰσιν*[13]) *οἱ ταῦτα μαρτυροῦντες. καὶ σημείωσαι· ἔγνωμεν γὰρ πολλάκις, ὅτι ἀκοήν τις οὐ μαρτυρεῖ.*

Οὐ πιστεύονται οἱ ταβουλάριοι λέγοντες ἐν ἐκμαρτυρίῳ καταθέσθαι[14]) *καὶ ὁμολογεῖν τινα χρεωστεῖν, ἐὰν*

Novella XC.

De testibus.

Testium propter probationes utilitas.

1. Testes fide digni sunto. Legas lib. IV Cod. tit. 20 const. 9, ubi dicitur, iudicantem honestioribus testibus fidem adhibere debere.

2. Ignoti testes etiam torqueantur, si opus sit, a magistratibus vel a praetore plebis, vel a defensore, si magistratus non sit, qui cogniturus est, neque possit illud facere. Lege lib. IV Cod. tit. 20 const. 13 et 15, ubi dicitur, eos, qui falsum testimonium dicant, a iudicibus coerceri.

3. Qui testimonium perhibent de debitis scriptis, dicant se solutioni interfuisse ad hoc solum evocati, scilicet si quinque fuerint numero secundum const. 18 tit. 20 lib. IV Codicis. Nam quod dictum est in const. 1 eiusdem tituli et libri, adversus instrumenta testimonia non scripta non proferri, ne accipias de debitis: nam excipitur, quod hic et illic super iis constitutum est.

4. Non admittendi sunt, qui dicunt, se audivisse illum illi debitorem esse, vel illum illi aurum solvisse, vel illum ab illo aurum accepisse, quamvis tabelliones sint, qui hoc testimonium ferant. Et nota hoc: saepius enim didicimus, de auditu neminem testem esse.

5. Non creditur tabellionibus dicentibus in testatione, deposuisse aliquem et professum esse se

---

24) Bodl. *ἐὰν οὐ διέθετο.*
25) Non quadrat.
1) Cod. *χρίαν.*
2) Bas. *μᾶλλον τοῖς ἐπιτιμιωτέροις.*
3) Bas. *εἰ εὐτελεῖς εἰσιν.*
4) Cod. *τῶν δημοσίων.* — Bas.: *ὑπὸ τοῦ πραίτωρος τοῦ δήμου ἢ τῶν ἀρχόντων.*
5) In Cod. haec exciderunt propter — *ωσαν* praecedens. — Bodl. *ὡς.* Basil. *ὡς κἂν.*
6) Bas. *ἐπὶ τούτῳ καὶ μόνῳ.* Bodl.: *ἐπὶ τούτῳ μόνῳ.*
7) Bodl. et Bas. *ὦσι.*
8) Sic Bas. — Cod. *καί.*
9) Bas. *προσφέρεται.*
10) Bas.: *εἴρηται γαρ τὸ περὶ αὐτῶν ἐκεῖσε νομοθετηθέντων.*
11) Bas. *τοῦδε.*
12) Cod. utroque loco: *τόδε.* Male.
13) Bas. *ὦσιν.*
14) Sic Bas. — Cod.: *τεθέσθαι.*

ἐκεῖνος οἶδε γράμματα, καὶ οὐχ ὑπέγραψε δηλονότι ἢ ἰδιόχειρον οὐκ ἐξέθετο, εἰ μη ἄρα ἐπὶ μαρτύρων νομίμως[15] *κατέθετο. και σημειωσαι*[16], *ὅτι, ἐὰν ὁ*[17] *λέγων χρεωστεῖν ὑπέγραψε τῷ*[18] *ἐκμαρτυρίῳ ἢ ἰδιόχειρον ἐποίησεν*[19] *ἢ ὡμολόγησεν ἐπὶ μαρτύρων, κατέχεται, κἂν*[20] *γράμματα οἶδεν· ἐὰν γὰρ ἀγράμματός ἐστιν, ἔῤῥωται τὸ παρὰ τοῦ ταβουλαρίου γινόμενον ἐκμαρτυριον κατὰ τὴν ἐνταῦθα*[21] *λεχθεῖσαν ἀντιδιαστολήν, ἐαν μεντοιγε*[22] *ἔχη τὸ ἐκμαρτύριον γ΄ μαρτύρων ὑπογραφας κατὰ τὰ ἑξῆς λεχθησόμενα.*

Δεκτέα εἴησαν[23] *τὰ ἐκμαρτύρια, ἐὰν ἔχωσι κατάθεσιν*[24] *καὶ ὑπογραφὰς γ΄ μαρτύρων. σημείωσαι οὖν διὰ τὸ ἀδιαστίκτως εἰρημένον ἐν τῷ δ΄ βι. τοῦ κώδ. τί. κ΄ διάτ. δ΄, ὅτι οὐκ ἔστι δεκτὰ*[25] *τὰ ἐκμαρτύρια καθ' ἑαυτά.*

Ὅτε[26] *οἱ μάρτυρες ἑαυτοῖς*[27] *ἐναντιοῦνται*[28] *η ἄλλοις μάρτυσιν, τότε δεχέσθω*[29] *ὁ δικαστὴς τοὺς ἐξ αὐτῶν ἀξιοπιστοτέρους καὶ κολαζέτω τοὺς ὑπόπτους, [εἴπερ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες]*[30]*. ἀνάγνωθι βι. δ΄ τοῦ κώδ. τί. κ΄ διάτ. θ΄ καὶ ιγ΄ καὶ ιδ΄ καὶ ιε΄.*

Ὁ τρίτον παραγαγὼν μάρτυρας[31] *οὐκ ἔτι παραφέρει*[32] *μετὰ τὴν ἔκδοσιν τῶν παραγραφῶν. ἐὰν δὲ μὴ ἐξέλαβε*[33]*, μήτε*[34] *ἐνέτυχεν δι'*[35] *ἑαυτοῦ, ἢ διὰ τοῦ ἰδίου συνηγόρου ταῖς μαρτυρίαις, τότε δύναται πρὸ ἐκδόσεως τῶν παραγραφῶν καὶ τετάρτην μαρτυρίαν προσαγαγεῖν*[36]*, ὀμνύων, ὅτι οὐ κατὰ δόλον ζητεῖ*[37] *την τῶν μαρτύρων παραγωγήν· τοῦτο γὰρ*[38] *ποιῶν καλῶς*[39] *παράγει καὶ χωρὶς βασιλικῆς κελεύσεως.*

Ὁ ἅπαξ ἢ δὶς παραγαγὼν μάρτυρας, ἐὰν ἀποτάξηται καὶ[40] *διασκέψηται διὰ τῆς ἐκδόσεως τῶν [παραγραφῶν τῶν] μαρτύρων*[41] *καὶ μάθη τὰς μαρτυρίας, οὐ δύναται οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἄλλους παράγειν*[42] *μάρτυρας.*

Δυνατὸν καὶ[43] *ἀπὸ πόλεως εἰς πόλιν ἐκ διαλαλιᾶς δικαστικῆς σταλῆναι*[44] *τὰς μαρτυρίας, πραττομένων μέντοιγε κατὰ νόμους ἐν μὲν ταῖς ἐπαρχίαις παρὰ τῷ ἐκδίκῳ ἢ*[45] *παρὰ τῷ ἄρχοντι, ἐν [δὲ τῇ]*[46] *κωνσταντινουπόλει παρὰ τοῖς θείοις δικασταῖς. καὶ σημείωσαι, ὅτι αἱ πραττόμεναι μαρτυρίαι ὀφείλουσιν ἔχειν τὶ*[47] *σημεῖον ἐκείνου, παρ' ᾧ καὶ ἐπράχθησαν. ἀνάγνωθι βι. δ΄ τοῦ κώδ. τί. κ΄ διάτ. ις΄ καὶ τί. κα΄ διάτ. ιη΄.*

Ἐπὶ τῶν ἐγκληματικῶν[48] *ἀνάγκη πάντως παραχθῆ-*

debere, si is literas sciat, et non subscripserit vel idiochirum non exposuerit, nisi forte coram testibus hoc legitime deposuerit. Et nota: qui dicit se debere, si testationi subscripserit vel idiochirum fecerit vel coram testibus confessus sit, tenetur, siquidem literas novit; sin literas nesciat, valet a tabellione facta testatio secundum contradistinctionem hoc loco factam, siquidem testatio habeat trium testium subscriptiones secundum ea, quae infra dicentur.

6. Testationes recipiantur, si habeant depositionem et subscriptiones trium testium. Nota hoc propterea, quod indistincte dicitur in lib. IV Cod. tit. 20 const. 4, testationes per se non recipi.

7. Quando testes sibimet ipsis adversantur aut aliis testibus, tunc iudex ex iis fide digniores eligat, et suspectos castiget, si consulto malitiose agere videantur. Lege lib. IV Cod. tit. 20 const. 9 et 13 et 14 et 15.

8. Qui tertium testes produxit, non amplius adducit post editionem exceptionum. Sin autem non excepit, neque ipse per se aut per advocatum suum testimoniis interfuit, tunc ante editionem exceptionum et quartum testimonia adducere potest, iurans se sine dolo testium productionem petere. Hoc enim si fecerit, recte eos producit etiam sine principali iussione.

9. Qui semel aut bis produxit testes, si renuntiaverit atque editionem exceptionum contra testes examinaverit et testimonia cognoverit, is neque per rescriptum principis alios producere potest testes.

10. Possunt etiam ex urbe in urbem per interlocutionem iudicialem testimonia mitti, dummodo secundum leges apud acta fiant, in provinciis quidem coram defensore vel praeside, Constantinopoli autem coram sacris iudicibus. Et nota, quod testimonia in acta relata aliquod signum eius habere debent, apud quem confecta sunt. Lege lib. IV Cod. tit. 20 const. 16 et tit. 21 const. 18.

11. In criminalibus causis omnino necesse est,

---

15) Bas. *νομίμων.*
16) Bas. addunt: *αὐτό.*
17) Cod. *ὁ μὴ λέγων.*
18) Bas. *ἐν τῷ.*
19) Bas. *ἐξέθετο.*
20) Bas. *ἐάν.* Mox *Fabrotus* *εἶδεν*, quod iam uterque *Heimbachius* reiecit.
21) Bas. *ἐντεῦθεν.*
22) Bas. *μέντοι.*
23) Bas. *εἰσδεκτέα ἐστι.*
24) Bas. *καταθέσεις.*
25) Bas. *δεκτέα.*
26) Bodl. *ὅταν.*
27) Bodl. *ἢ ἐν αὐτοῖς.*
28) Bas. *ἐναντιοῦσιν.*
29) Bas. *ἐχέτω.* *Fabrotus* *δεχέτω*, *Heimbachii* *δεχέσθω* coniecerunt
30) Inclusa in Cod. desunt: addidi ex Bas. et Bodl.
31) Bas. *Ὁ τρίτην παραγαγων μαρτυρίαν.* *Athanasio* hunc locum Basilicorum scholia per errorem tribuunt. Cf. *Heimbach Ἀνέκδ.* I p. 244 not. 97.
32) Bas. *προφέρει.* Bodl. *προσφέρει.*
33) Bas. *ἐξελάβετο.* Bodl. *ἐξέβαλε.*
34) Bodl. *μηδέ.*
35) Bodl. *ἢ δι'.*
36) Bas. et Bodl. *παραγαγεῖν.*
37) Bas. *αἰτεῖ.*
38) Bas. *δέ.*
39) In Bas. deest.
40) Bodl. *ἢ καί.*
41) Sic Bodl. — Bas.: *τῶν μαρτυριῶν καὶ τῶν παραγραφῶν.* — Inclusa in Cod. desunt.
42) Bodl. et Bas. *παραγαγεῖν.*
43) Deest in Bas.
44) Bodl. *στεῖλαι.* Bas. *τοὺς μάρτυρας σταλῆναι.*
45) Verba *παρὰ τῷ ἐκδ. ἢ* in Bodl. desunt.
46) Supplevi ex Bodl. — Bas. *δέ* non habent, quod tamen iam *Heimbachius* senior supplendum esse viderat.
47) Deest in Bas.
48) Bas. *ἐγκλημάτων.*

ναι[49]) *τοὺς μάρτυρας, καὶ μὴ τὰς φωνὰς αὐτῶν. σημείωσαι ἰδικὸν τοῦτο.*

Ἐὰν ὁ μάρτυς λέγεται δοῦλος εἶναι, ἑαυτὸν δὲ φωνεῖ[50]) *ἐλεύθερον, εἰ μὲν ἐκ γενετῆς*[51]) *ἐστι δοῦλος καὶ μαρτυρήσει, ἐκβάλλεται διὰ παραγραφῆς· εἰ δὲ ἀπελεύθερος εἴη, δεικνύτω τὴν ἐλευθερίαν αὐτοῦ, ἢ ὀμνύτω, ὡς οὐκ ἔχει αὐτὴν ἐν ἑτοίμῳ, καὶ εἰ μαρτυρήσας μὴ δείξῃ μετὰ ταῦτα τὴν ἐλευθερίαν, οὐκ ἔστι*[52]) *λοιπὸν προσδεκτέος. σημείωσαι, ὅτι καθόλου δοῦλος οὐ μαρτυρεῖ. [ἔγνως γὰρ ἐν τῷ δ' βι. τοῦ κώδ. τί. κ' διάτ. η', ὡς οὔτε ὑπὲρ δεσπότου μαρτυρεῖ, οὔτε κατὰ δεσπότου]*[53]). *ἀνάγνωθι δὲ καὶ*[54]) *βι. ς' τοῦ κώδ. τί. κγ' διάτ. α' ἔνθα φησίν, ὅτι ὁ μὴ ἐναχθεὶς περὶ τῆς ἰδίας καταστάσεως, καλῶς μαρτυρεῖ ἐν διαθήκῃ*[55]).

Ὁ ἐγκληματικῶς τινος κατηγορήσας οὐ δύναται μαρτυρεῖν κατ' αὐτοῦ· ὁ γὰρ χρηματικῶς τινα αἰτιασάμενος οὐ κωλύεται μὲν[56]) *μαρτυρεῖν κατ' αὐτοῦ*[57]), *πλὴν ὑπούσης εὐλόγου αἰτίας ἐκβάλλεται διὰ παραγραφῆς*[58]).

Ὁ μεσάσας τισὶν ἐν πράγματι οὐ μαρτυρεῖ αὐτοῖς ἐν τῇ αὐτῇ ὑποθέσει, δηλονότι παρ' ἄλλῳ δικαστῇ, εἰ μὴ ἄρα συναινέσωσι[59]) *τὰ β' μέρη τῇ μαρτυρίᾳ αὐτοῦ. σημείωσαι οὖν διὰ τὸ ἀδιαστίκως κείμενον*[60]) *ἐν τῷ δ' βι. τοῦ κώδ. τί. κ' διάτ. ις'.*

Ἐάν τις προτραπῇ ὑπὸ τοῦ συνιστῶντος κατ' αὐτοῦ μαρτυρίαν[61]) *παραγενέσθαι καὶ ἀκροάσασθαι τῶν κατατιθεμένων*[62]), *καὶ μὴ παραγένηται, ἔῤῥωνται αἱ πραττόμεναι κατ' αὐτοῦ μαρτυρίαι, κἂν κατὰ μίαν μοῖραν [συνέστησαν· καὶ οὐ δύναται αὐτὰς παραγράφεσθαι, ἀλλ' εἴπερ ἑτέραν ἔχει παραγραφὴν χωρὶς τοῦ λέγειν, ὡς κατὰ μίαν μοῖραν]*[63]) *ἐγένοντο, οὐ κωλύεται αὐτῇ*[64]) *χρήσασθαι. μέμνησο τῆς ις' διατ. τοῦ κ' τί. τοῦ δ' βι. τοῦ κώδικος. ἐξεφωνήθη μηνὶ ὀκτωβρίῳ τῆς βασιλείας ἔτει ιγ' ὑπατείᾳ ἀπίονος.*

ut testes producantur, et non eorum voces. Nota hoc, quod singulare sit.

12. Si testis dicatur esse servus, ille autem sese liberum esse clamet, si quidem a nativitate servus sit et testimonium dederit, per exceptionem summovetur; sin libertinus sit, ostendat manumissionem suam, aut iuret se eam non habere in promtu, et si post datum testimonium manumissionem non ostenderit, de reliquo non est admittendus. Nota, servum omnino non dicere testimonium. [Didicisti enim lib. IV Cod. tit. 20 const. 8, eum nec pro domino testem esse, neque contra dominum.] Legas vero etiam lib. VI Cod. tit. 23 const. 1, qua dicitur, eum, cui de statu suo controversia mota non sit, recte testem esse in testamento.

13. Qui quem criminaliter accusavit, adversus eum testari nequit. Si quis autem civiliter quem convenit, non quidem prohibetur testari adversus eum, sed, si iusta causa subsit, per exceptionem summovetur.

Τοῦ στρατιώτου γυνὴ μὴ γαμείτω, κἂν μὴ δέξηται ἀπόκρισιν παρὰ τοῦ ἰδίου ἀνδρός. εἰ δὲ μάθῃ αὐτὸν τελευτᾶν, παραγινέσθω πρὸς τοὺς PRIORας *καὶ χαρτουλαρίους καὶ τριβούνους τοῦ ἀριθμοῦ καὶ ἐρωτάτω αὐτούς, κἀκεῖνοι προκειμένων τῶν ἁγίων εὐαγγελίων κατατιθέσθωσαν, εἰ ἐτελεύτησεν, καὶ τότε μετὰ ἐνιαυτὸν τῆς καταθέσεως γαμείτω. εἰ δὲ παρὰ ταῦτα γήμῃ, ὡς μοιχὰς τιμωρεῖται ἅμα τῷ γήμαντι αὐτήν. ἰστέον δέ, ὅτι ἐὰν οἱ κατατιθέμενοι ἐψεύσαντο, ἐκπίπτουσι τῆς στρατείας καὶ ι' λίτρας χρυσοῦ παρέχουσι τῷ ἀνδρὶ τῆς εἰρημένης γυναικὸς ὑποστρέφοντι, ὅστις καὶ ἄδειαν ἔχει τὴν ἑαυτοῦ γυναῖκα λαμβάνειν. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. ιζ' διάτ. ζ', καὶ μέμνησο τῆς κβ' νεαρᾶς.*

Λύσεις [42]) *γάμου ἀτιμώρητοί εἰσι· τὸ μὴ δύνασθαι τὸν ἄνδρα μιγῆναι τῇ γυναικί, τὸ αἰχμαλωτισθῆναι, τὸ μονάσαι· ἐφ' ὧν θεμάτων τὰ εἰρημένα ἤδη κρατεῖ. ἴσθι* [43]) *γάρ σου ἔξωθεν, ὅτι οἱ ἀπὸ τελευτῆς* CASOι *τρακταΐζονται ἐπὶ αὐτῶν* [44]). *ἀνάγνωθι περὶ τοῦ μὴ δύνασθαι μιγῆναι βί. ε' τοῦ κώδ. τί. ιζ' διάτ. ι'* [45]) *καὶ νεαρὰν κβ', περὶ δὲ τοῦ μονάσαι ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. νβ' καὶ νεαρὰν ρκγ'· περὶ γὰρ τοῦ αἰχμαλωτισθῆναι ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. γ' διάτ. ια', ἣ καὶ περὶ μνηστῆς διαλέγεται* [46])· *πλὴν μέμνησο πάλιν τῆς κβ' νεαρᾶς.*

Ἐὰν γυνὴ χωρὶς εὐλόγου αἰτίας πέμψῃ REPUDιον *πορνεύειν θέλουσα, καὶ τοῦτο δέξηται ὁ ἀνήρ, ἡ μὲν προῖξ αὐτῆς τοῖς ἰδίοις παισὶ φυλάττεται τῷ ἀνδρὶ διδομένη, εἰ δὲ παῖδας οὐκ ἔχῃ, τότε τῷ ἀνδρὶ τελείως ἁρμόζει, αὐτὴ δὲ ἡ γυνὴ κινδύνῳ τοῦ δικάζοντος τῇ τοιαύτῃ ὑποθέσει παραδίδοται τῷ ἐπισκόπῳ ἐπὶ τὸ βλη-*

nuptias donationis, ex substantia mariti accipit; sed, si liberi subsint, usumfructum tantum habet. Memineris Nov. XXII.

20. Consensu matrimonium non solvitur, nisi castitatis causa: nam si quid praeter hoc factum sit, dos et propter nuptias donatio liberis servatur. Legas lib. V Cod. tit. 17 const. 9, et scias, Nov. CXL constitutum esse, etiam consensu matrimonium solvi.

21. Si quis eorum, qui castitatis causa matrimonium dissolverunt, nuptias contraxerit vel fornicatus sit, liberi lucra nuptialia et praeterea reliquam substantiam eius, qui deliquit, accipiunt, et, si nondum perfectae aetatis sint, apud castum parentem aluntur. Si vero pater eorum et mater simul deliquerint, tunc administrator bonorum constituendus est, qui liberos illos alat. Sciendum est autem, eos, qui matrimonium castitatis causa dissolverint, si, cum deliquerint, liberos non habeant, publicari et puniri. Lege lib. V Cod. tit. 24 const. 1, ubi dictum est, apud quem parentem liberi educari debeant.

22. Militis uxor ne nubat, etiamsi responsum non tulerit a marito suo. Sed si obiisse eum audiverit, adeat priores et chartularios et tribunos numeri et eos interroget, iique propositis sanctis evangeliis deponant, an mortuus sit, et tunc post annum a depositione facta nubat. Quodsi praeter haec nupserit, tanquam adultera punitur cum illo, qui eam duxit. Sciendum est autem, quod qui deposuerunt, si mentiti sint, militia excidunt et decem libras auri solvunt marito dictae mulieris quum redierit: qui etiam licentiam habet uxorem suam recipiendi. Legas lib. V Cod. tit. 17 const. 7, et memineris Nov. XXII.

23. Causae, propter quas matrimonium impune solvitur, hae sunt: si vir uxori misceri non possit, si alteruter ab hostibus captus sit, si monachus fiat: quibus casibus ea obtinent, quae iam dicta sunt. Scias enim extrinsecus, casus mortis etiam in his tractari. Legas de eo, qui misceri non potest, lib. V Cod. tit. 17 const. 10 et Nov. XXII; de iis vero, qui monachi fiunt, legas lib. I Cod. tit. 3 const. 52 et Nov. CXXIII; et de iis, qui ab hostibus capiuntur, legas lib. V Cod. tit. 3 const. 11, quae etiam de sponsa loquitur; caeterum memineris etiam Nov. XXII.

24. Si mulier absque iusta causa repudium miserit, ut scortaretur, idque vir acceperit, dos eius viro datur, ut liberis illius servetur, vel, si liberos non habeat, perfecte viri fiat. Ipsa autem mulier periculo eius, qui de hac causa iudicaturus sit, episcopo traditur, ut in monasterium coniiciatur; et si

---

38) *Theodorus* vapulat. Videsis textum Novellae c. 10 et *Athanas*. X, 9 (*Heimbach* *'Ανέκδ.* I p. 128).

39) Cod. *συνίσει*, quae est commutatio vocum similium librariis non inusitata.

40) Cod. *τῷ*.

41) Cod. addit: *τρόπῳ*, quod omnino delendum est, nisi forte scribendum credas: *καὶ ποίῳ τρόπῳ*.

42) Basil. *Fabroti*: *Αἱ λύσεις*.

43) Sic Basil. Cod.: *κρατεῖ ἤδη ἴσθυ*.

44) Basil. *Fabroti*: *ἐπὶ τοῦ αὐτοῦ*.

45) Basil. *Fabroti* hic addunt: *λέγει γάρ, ὅτι, ἐὰν ἀδυνατήσῃ ὁ ἀνὴρ ἐπὶ διετίᾳ τῇ οἰκείᾳ μιγῆναι γυναικί, ἔξεστι γυναικὶ τὸν γάμον διαλύεσθαι ἀκινδύνως, οὐ λαμβάνειν δὲ τὴν προγαμιαίαν δωρεάν, ἀλλὰ μόνην προῖκα.* Codex autem Florentin. Basil. addit: *φησὶ ἡ τοιαύτη διάταξις, ὅτι, ἐὰν ἐπὶ γ' ἔτη μὴ δυνηθῇ ὁ ἀνὴρ συγγενέσθαι τῇ γαμετῇ αὐτοῦ, ἔξεστιν ταύτην διαλύειν τὸ συνοικέσιον ἀζημίως πλὴν μὴ λαμβάνειν τὴν προγαμιαίαν δωρεάν, ἀλλὰ μόνην τὴν προῖκα, ἃ [κε]καινοτόμηται.*

46) Haec verba *ἢ — διαλέγεται* desunt in Basilicis.

θῆναι εἰς μοναστήριον· καὶ εἰ μὲν παῖδας ἔχῃ, λαμβάνουσι τὸ δίμοιρον τῆς ἄλλης αὐτῆς περιουσίας, καὶ τὸ ὑπόλοιπον γ΄ μέρος δίδοται τῷ μοναστηρίῳ, ἔνθα βάλλεται· ἐὰν δὲ παῖδας οὐκ ἔχῃ, τὸ μὲν δίμοιρον προσκυροῦται τῷ μοναστηρίῳ, τὸ δὲ γ΄ τοῖς γονεῦσιν αὐτῆς παρέχεται, εἰ μὴ ἄρα καὶ αὐτοὶ συνήνεσαν αὐτῇ ὑπεξουσίᾳ οὔσῃ ἐπὶ τῇ πομπῇ τοῦ ΒΕΡΟΥΔ*ίου· εἰ δὲ παῖδας οὐκ ἔχῃ οὐδὲ γονεῖς, πᾶσα ἡ ὑπόστασις αὐτῆς τῷ μοναστηρίῳ δίδοται. ἰστέον δέ, ὅτι ἐὰν ῥαθυμήσῃ ὁ δικάζων περὶ τῶν εἰρημένων, εἰ μὲν ἄρχων ἐστὶ κωνσταντινουπόλεως, κ΄ λίτρας χρυσίου προστιμᾶται, ἡ δὲ τάξις αὐτοῦ ι΄ λίτρας χρυσίου ζημιοῦται, [εἰ δὲ κατὰ χώραν ἐστὶν ἄρχων, ι΄ λίτρων χρυσίου ποινὴν κατατίθησι,]*[47] *καὶ ἡ τάξις αὐτοῦ ε΄ λίτρας χρυσίου δίδωσιν, ἐὰν δὲ χαμαιδικαστής ἐστιν, ε΄ λίτρας χρυσίου ζημιοῦται.*

quidem liberos habeat, ii bessem reliquae eius substantiae accipiunt, et reliquus triens monasterio datur, in quod coniicitur: si vero liberos non habeat, bes quidem monasterio addicitur, triens autem parentibus eius datur, nisi forte et hi, quum in eorum potestate illa esset, consenserint in repudii missione: quodsi liberos non habeat nec parentes, omnis substantia eius monasterio datur. Sciendum est autem, quod si iudex de his cognoscens negligens fuerit, siquidem Constantinopoli magistratus sit, XX libris auri mulctatur et officium eius X libris auri, [sin provinciae sit praeses, X librarum auri poenam solvit] et officium eius V libras auri dat, si vero pedaneus iudex sit, V libris auri mulctatur.

Ὁ ἀνὴρ ἀλόγως λύων τὸν γάμον ζημιοῦται πρὸς τοῖς ἔδνοις καὶ ὅσον ἔχει τὸ γ΄ μέρος τῶν ἔδνων ἐκ τῆς ἄλλης αὐτοῦ[48] *περιουσίας, καὶ ταῦτα λαμβάνει ἡ γυνὴ κατὰ δεσποτείαν παῖδας μὴ ἔχουσα, εἰ δὲ παῖδας ἔχῃ, μόνης τῆς χρήσεως αὐτῶν ἀπολαύει. σημείωσαι, ὅτι τοῦτο τρακταΐζει ἡ παροῦσα διάταξις κατὰ μόνου τοῦ μέρους τοῦ ἀνδρός, οὐκέτι μὴν καὶ κατὰ τῆς γυναικὸς ἀλόγως λυούσης τὸν γάμον. πλὴν ἰστέον, ὅτι τοῦτο ἀνῄρηται· κελεύει γὰρ ἡ ρκζ΄ νεαρά, ἴσα εἶναι τὰ ἐπιτίμια κατά τε ἀνδρὸς καὶ κατὰ γυναικός. εἰ δὲ θέλῃς εὐδιαίρετον εἰπεῖν, δέξαι τὸ λεχθὲν ἐνταῦθα ἐπὶ τοῦ λύοντος ἀλόγως τὸν γάμον ἀνδρος διὰ τὸ πόρναις συμμίγνυσθαι. ἔγνως γὰρ ἐκ τοῦ προλαβόντος θέματος μονομερὲς ἐπιτίμιον κατὰ τῆς λυούσης ἀλόγως τὸν γάμον γυναικὸς διὰ τὸ πορνεῦσαι· καίτοι ἀνδρὸς μνήμη οὐκ εἴρηται.*

25. Vir, qui sine iusta causa matrimonium solvit, mulctatur propter nuptias donatione et ex reliqua eius substantia tanto, quantum facit tertia pars propter nuptias donationis, eaque propria accipit mulier, si liberos non habeat; si vero liberos habeat, solo usufructu eorum gaudet. Nota, in praesenti constitutione hoc solum, quantum ad partem viri attinet, tractari, non etiam quantum ad partem mulieris, quae sine iusta causa matrimonium solvit. Sed scias, hoc sublatum esse; iubet enim Nov. CXXVII, aequales esse poenas viri et mulieris. Aut si melius distinguendo loqui velis, accipe quod hic dictum est de viro, qui absque iusta causa matrimonium solvit, ut scortis misceatur. Didicisti enim in praecedenti capite ex una parte poenam mulieri impositam, quae absque iusta causa matrimonium solverit, ut scortaretur; neque tamen ibi viri mentio facta est.

Ὁ ξύλοις ἢ μάστιξι τύπτων τὴν ἰδίαν γυναῖκα χωρὶς αἰτίας λυούσης τὸν γάμον οὐχ ὑπόκειται μὲν λύσει γάμου, δίδωσι δὲ αὐτῇ τὸ γ΄ μέρος τῶν ἔδνων.

26. Qui fustibus aut flagellis uxorem suam ceciderit absque causa ad solutionem matrimonii idonea, non quidem ideo solutioni matrimonii obnoxius fit, sed illi tertiam partem propter nuptias donationis dat.

Σημείωσαι, ὅτι[49] *ὁ μετὰ γ΄ ἐγγράφους διαμαρτυρίας τὸν μοιχὸν καταλαμβάνων ἐν τῷ ἰδίῳ οἴκῳ ἢ ἐν τῷ τῆς γυναικὸς ἢ ἐν τῷ οἴκῳ αὐτοῦ*[50] *τοῦ μοιχοῦ ἢ ἐν προαστείοις, μετὰ τῆς αὐτοῦ γαμετῆς δηλονότι, ἀκινδύνως αὐτὸν ἀναιρεῖ· εἰ γὰρ ἔξω τῶν εἰρημένων τόπων καταλάβῃ αὐτὸν παρόντων τριῶν μαρτύρων, παραδιδότω αὐτὸν τῷ ἄρχοντι. ἴσθι δέ, ὅτι ἐὰν ὁ ἀνὴρ τὰς γ΄ διαμαρτυρίας ἔστειλε τῷ μοιχῷ*[51] *ἐγγράφως, δύναται ὁ θέλων καὶ*[52] *κατηγορεῖν τῆς γυναικός, μὴ ἀπαιτούμενος ἄλλην ἀπόδειξιν*[53]*. ἀνάγνωθι περὶ μὲν τοῦ ἀνελεῖν*[54] *τὸν μοιχὸν βι. θ΄ τί. θ΄ διάτ. δ΄*[55]*, ἔνθα φησί, καὶ τοὺς παῖδας δύνασθαι τοῦτο ποιῆσαι· περὶ δὲ τοῦ κατηγορεῖν τῆς μοιχευθείσης ἀνάγνωθι βι. πάλιν θ΄ τοῦ κώδ. τί. θ΄ διάτ. ϛ΄ καὶ ζ΄ καὶ ια΄*[56] *καὶ ιδ΄ καὶ ιε΄ καὶ ιθ΄ καὶ κα΄.*

27. Nota, quod is, qui post tres scriptas denuntiationes adulterum in domo sua vel uxoris, vel in ipsius adulteri domo, vel in popinis, vel in suburbiis, nimirum cum uxore sua, deprehenderit, impune eum interficit; si tamen alibi quam in dictis locis eum deprehenderit praesentibus tribus testibus, praesidi eum tradat. Scias autem, quod vir post tres denuntiationes adultero in scriptis missas etiam uxorem, si velit, accusare potest nec ab eo alia probatio exigitur. Legas de eo, quod adulter interfici possit, lib. IX Cod. tit. 9 const. 4, ubi dicitur, etiam liberos hoc facere posse: de accusanda autem adultera legas rursus lib. IX Cod. tit. 9 const. 6 et 7 et 11 et 14 et 15 et 19 et 21.

---

47) Inclusa desunt in Codice. Textus Novellae cap. 13: „*εἰ δὲ κατὰ χώραν εἴη ὁ τοιοῦτος ἄρχων, καὶ μὴ πράξῃ τὰ ἡμῖν ἐπὶ τούτῳ παραστάντα, ι΄ χρυσίου λιτρῶν καταθήσει ποινήν, καὶ ἡ τάξις αὐτοῦ ἑτέρων ε΄.*“ *Athanas.* X, 9 (*Heimb. Ἀν.* I p. 129): „*ὁ δὲ ἐν ἐπαρχίᾳ ἄρχων ι΄ χρυσίου λιτρῶν καταθήσει ποινήν, καὶ ἡ τάξις αὐτοῦ ε΄.*“

48) Cod. *αὐτῆς*.

49) Haec verba: *Σημείωσαι, ὅτι* in Basil. merito desunt. Scribae adnotatio est.

50) Deest in Basil.

51) Cod. *τὸν μοιχόν*, quod ex Bas. emendavi.

52) A Basil. abest.

53) Bas. *ἀπόδοσιν*, quod tamen Fabrotus per verbum „probatio“ reddit.

54) Bas. *ἀναιρεῖν*.

55) Cod. addit: *καὶ ζ΄ καὶ ιβ΄ καὶ ιδ΄ καὶ ιε΄ καὶ ιθ΄ καὶ κα΄*, quae, quum ex inferiori loco male huc tracta esse videantur, Basilicorum auctoritatem sequutus omisi.

56) Sic Bas. Cod.: *ιβ΄*.

Ο ἐν εὐκτηρίῳ οἴκῳ καταλαμβανόμενος μετὰ ἀλλοτρίας γυναικὸς διὰ τῶν ἐκκλησιεκδίκων καὶ τοῦ ἐπισκόπου παραδίδοται τῷ ἄρχοντι, κἂν ὑπόνοια μόνη ὑπέστη κατ' αὐτοῦ, καὶ ὡς μοιχὸς τιμωρεῖται μηδενὸς ἄλλου ζητουμένου. ἀνάγνωθι βι. θ' τοῦ κώδ. τί. θ' διάτ. ς', ἔνθα φησίν, ὅτι καὶ γυνὴ ἐξ ὑπονοίας κατηγορεῖται μοιχείας. τὰ εἰρημένα κρατεῖ καὶ ἐπὶ θυγατέρων καὶ ἐγγόνων καὶ νυμφῶν. ἐξεφωνήθη μηνὶ ἰανουαρίῳ ἔτει ις' βασιλείας μετὰ τὴν ὑπατείαν βασιλείου ἰνδ. ς'.

28. Qui in oratorio cum aliena uxore deprehenditur, ab ecclesiae defensoribus et episcopo praesidi traditur, si vel in suspicionem tantum incurrerit, et tanquam adulter punitur nullo alio exquirendo. Lege lib. IX Cod. tit. 9 const. 6, ubi dicitur, etiam mulierem ex suspicione accusari. Quae dicta sunt, obtinent etiam in filiabus et neptibus et sponsis. *Data mense Ianuario anno XVI imperii post consulatum Basilii ind. 6.*

Νεαρὰ ριη'.

Περὶ ἰσότητος ἀγνατικῶν καὶ COGNATIC*ῶν δικαίων.*

Πολλοὺς καὶ διαφόρους νόμους.

Οἱ κατιόντες, κἂν ἄῤῥενες κἂν θήλειαί εἰσι[1]*, προτιμῶνται τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου. ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. νε' διάτ. β' καὶ*[2]*) ια' καὶ ιβ'.*

Ἐὰν εἷς τῶν παίδων κληρονομήσῃ τοῦ ἰδίου γονέως, προσπορίζει τῷ ἑαυτοῦ πάππῳ τὸν USUFRUCT*ον τῶν ἀπροσπορίστων*[3]*. τὰ γὰρ περὶ τῆς χρήσεως τῶν ἀπροσπορίστων παλαιὰ*[4] *νόμιμα οὐ κεκαίνισται*[5]*. ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. νθ' διάτ. ια' καὶ τί. ξ' διάτ. α' καὶ τί. ξα' διάτ. γ' καὶ δ' καὶ ς'. πλὴν ἴσθι, ὅτι κληρονομῶν*[6] *ὁ ἀδελφὸς τὸν ἴδιον ἀδελφὸν οὐ προσπορίζει τῷ ἑαυτοῦ πατρὶ* USUFRUCT*ον*[7]*, ὡς ἐπάγει ἡ παροῦσα ριη' νεαρά.*

Ἐὰν πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐγγόνοις ἀπ'[8] *ἄλλου παιδός, οἱ ἔγγονοι ὑπεισέρχονται τὸ πρόσωπον τοῦ ἰδίου γονέως, καὶ ἅμα τῷ υἱῷ, τουτέστι τῷ ἰδίῳ θείῳ, κληρονομοῦσιν αὐτὸν* IN STIRP*ες, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν, εἴτε ὑπεξούσιοί εἰσιν εἴτε αὐτεξούσιοι*[9]*. ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. ιε' διάτ. γ' καὶ τί. νε' διάτ. γ'.*

Οἱ κατιόντες προτιμῶνται τῶν ἀνιόντων, ὡς εἴρηται. κατιόντων δὲ μὴ ὑπόντων προκαλοῦνται[10] *οἱ ἀνιόντες τῶν ἐκ πλαγίου πάντων χωρὶς τῶν ἐκ τῶν αὐτῶν*[11] *γονέων φύντων ἀδελφῶν. ἰστέον [δὲ]*[12]*, ὅτι ἐπὶ τῶν ἀνιόντων προτιμᾶται ὁ ἐγγύτερος τῷ βαθμῷ τοῦ [μὴ]*[13] *πλησιάζοντος, κἂν θῆλυ πρόσωπον εἴη. εἰ γάρ εἰσι πάντες τοῦ αὐτοῦ βαθμοῦ, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν. ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. νς' διάτ. β' καὶ τί. νζ' διάτ. δ'.*

Οἱ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ αἱ[14] *ἀδελφαὶ καὶ οἱ ἀνιόντες ὁμοῦ καλοῦνται* IN CAPITA[15]*, καὶ οὐδὲ προσ-*

Novella CXVIII.

De aequalitate agnaticorum et cognaticorum iurium.

Multas et diversas leges.

1. Descendentes, sive masculi sive feminae sint, praeferuntur ascendentibus et ex latere venientibus. Lege lib. VI Cod. tit. 55 const. 2 et 11 et 12.

2. Si quis liberorum parenti suo heres exstiterit, avo suo usumfructum eorum, quae acquisitionem effugiunt, acquirit. Etenim de his, quae acquisitionem effugiunt, antiquae leges non sunt innovatae. Legas lib. VI Cod. tit. 59 const. 11 et tit. 60 const. 1 et tit. 61 const. 3 et 4 et 6. Caeterum scias, quod frater fratri suo succedens patri suo usumfructum non acquirit, sicuti infra statuit praesens Nov. CXVIII.

3. Si avus moriatur relicto filio et nepotibus ex alio filio, nepotes in parentis sui locum succedunt, et una cum filio, i. e. proprio thio, succedunt illi in stirpes, sive masculi sive feminae sint, sive in potestate constituti sive sui iuris sint. Lege lib. VI Cod. tit. 15 const. 3 et tit. 55 const. 3.

4. Descendentes praeferuntur ascendentibus, sicuti dictum est. Descendentibus vero non extantibus vocantur ascendentes prae omnibus ex latere cognatis praeter fratres ex iisdem parentibus natos. Sciendum vero, in ascendentibus proximiorem gradu praeferri ei, qui non aeque propinquus est, etiamsi femina sit; quodsi omnes eiusdem gradus sunt, simul vocantur ad hereditatem. Lege lib. VI Cod. tit. 56 const. 2 et tit 57 const. 4.

5. Fratres et sorores ex utroque parente coniuncti et ascendentes simul vocantur in capita, nec

---

1) Bodl. *ὦσιν.*
2) Verba *β' καὶ* in Bas. rectius desunt.
3) Vide, quae notavi ad Prochir. Basilii tit. 30 §. 8 not. 8.
4) Bas. *τὰ παλαιά.*
5) Bas. *οὐκ ἐκαινίσθησαν.* Vide *Heimb.* *Ἀνέκδ.* I p. 253 not. 33. 41.
6) Cod. *ὁ κληρονομῶν.*
7) Bas. *τὸν οὐσούφρ.*
8) Bodl. et Bas. *ἀπό.*
9) Bodl. et Bas. *εἴτε αὐτεξ. εἰσιν εἴτε ὑπεξ.*
10) Bodl. *προσκαλ.*
11) Deest in Bodl.
12) In Cod. deest, sed habent Bodl. et Bas.
13) In Cod. deest. Supplevi ex Bas. et Bodl.
14) Deest in Bodl., sicut et mox *οἱ* deest.
15) Bodl. *ἐξίσης*, hic ut alias, quod tamen ubique adnotare nolui, latina graece reddens.

πορίζουσι τοῖς γονεῦσιν αὐτῶν οἱ ἀδελφοὶ τὸν USUFRUCTον τοῦ ἁρμόζοντος[16] αὐτοῖς μέρους ἐκ[17] τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν αὐτεξούσιος κἂν ὑπεξούσιος ἦν[18]. ἀνάγνωθι βι. ϛ' τοῦ κώδ. τί. νϛ' διάτ. ζ' καὶ τί. νη' διάτ. α' καὶ ιε' καὶ τί. νθ' διάτ. α'.

Οἱ ἐκ τῶν αὐτῶν[19] γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφὸν ἄλλων ἀδελφῶν προκειμένων μὴ ὄντων[20] ἀμφιθαλῶν. πλὴν εἰ ὕπεισι[21] παῖδες ἑτέρου ἀδελφοῦ αὐτῶν ὁμοπατρίου καὶ ὁμομητρίου[22], κἀκεῖνοι[23] ὁμοῦ καλοῦνται, τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ[24], εἰς τὰ τοῦ τελευτήσαντος[25] αὐτῶν μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου· εἰ δὲ μὴ ὕπεισιν ἀμφιθαλεῖς ἀδελφοὶ ἢ παῖδες ἀδελφῶν τοιούτων δηλονότι, τότε οἱ ἐκ διαφόρων φύντες γονέων ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἀδελφόν[26]. ἀνάγνωθι βι. ϛ' τοῦ κώδ. τί. νη' διάτ. α' καὶ γ', καὶ μέμνησο τῆς πδ' νεαρᾶς.

Ἐάν τις τελευτήσῃ ἐπ'[27] ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ ὁμοπατρίου καὶ[28] ὁμομητρίου οἱ τεκνάδελφοι προτιμῶνται τοῦ ἀδελφοῦ[29] εἰς τὴν κληρονομίαν αὐτοῦ· καὶ γὰρ οἱ ἀπὸ τῶν αὐτῶν γονέων θεῖοι προτιμῶνται τῶν ἐκ διαφόρων ὄντων γονέων ἀδελφοπαίδων. ἰστέον δέ, ὅτι ἀδελφῶν ἀμφιθαλῶν ἢ[30] παίδων τοιούτων ἀδελφῶν μὴ ὑπόντων τότε οἱ ἐκ διαφόρων γονέων ἀδελφοὶ[31] κληρονομοῦσι τὸν ἐξ ἑνὸς γονέως ὄντα ἀδελφὸν αὐτῶν. μέμνησο τῆς πθ' καὶ ἀνάγνωθι τὴν ρκζ' νεαράν.

Ἀνιόντων καὶ ἀδελφῶν καὶ ἀδελφοπαίδων ὑπόντων ἀποκλείονται οἱ ἀδελφόπαιδες· οἱ γὰρ ἀνιόντες προτιμῶνται ὅλων τῶν ἐκ πλαγίου χωρὶς τῶν ἀδελφῶν, τῶν ἀμφιθαλῶν δηλονότι, ὡς ἀνωτέρω προείρηται. καὶ σημείωσαι τὴν διαφοράν, ὅτι[32] ἀδελφῶν μόνων ὑπόντων καλοῦνται μετ' αὐτῶν οἱ ἀδελφόπαιδες, ὡς προέγνωμεν· εἰ δὲ ὑπάρχουσι ἀνιόντες σὺν τοῖς ἀδελφοῖς, τότε οὐ καλοῦνται[33] οἱ ἀδελφόπαιδες κατὰ τὸ[34] νῦν εἰρημένον. πλὴν ἴσθι, ὅτι σήμερον κατὰ τὴν ρκζ' νεαράν, ἣν καὶ πάντως ἀνάγνωθι, οἱ ἀδελφόπαιδες καλοῦνται μετὰ τῶν ἀνιόντων καὶ ἀδελφῶν.

Οἱ ἀδελφόπαιδες προτιμῶνται τῶν θείων, κἂν τρίτου εἰσὶ βαθμοῦ καὶ αὐτοί[35], ἐπειδὴ καὶ ὁ πατὴρ αὐτῶν, τουτέστιν ὁ ἀδελφός, προετιμᾶτο τῶν θείων. ὁ μὲν γὰρ ἀδελφὸς β' βαθμοῦ ἐστιν, ὁ δὲ θεῖος γ'. καὶ λοιπὸν οἱ παῖδες τοῦ ἀδελφοῦ ἐπαναβαίνουσιν εἰς τὸν τόπον τοῦ οἰκείου[36] πατρός, ὡς ἤδη προέγνωμεν. ἀνάγνωθι δὲ τὴν ρκζ' ὁμοίως νεαράν.

Ἀδελφοῦ μὴ ὑπόντος μηδὲ ἀδελφόπαιδος οἱ λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται, οἱ τῷ βαθμῷ μέντοιγε πρὸς τὴν κληρονομίαν[37] ὄντες ἐγγύτεροι, καὶ εἰ εὑρε-

parentibus suis fratres acquirunt usumfructum portionis ex hereditate fratris sui sibi competentis, sive is sui iuris sive in potestate fuerit. Lege lib. VI Cod. tit. 56 const. 7 et tit. 58 const. 1 et 15 et tit. 59 const. 1.

6. Fratres ex iisdem parentibus nati primum habent ordinem in successione, si alii fratres extent non ex utroque parente coniuncti. Si tamen subsint liberi alius fratris eorum eodem patre et matre nati, etiam hi simul vocantur, h. e. fratres et liberi fratris ex utroque parente coniuncti, in bona defuncti, illorum quidem fratris, horum vero thii; quodsi neque fratres ex utroque parente coniuncti subsint neque liberi talium fratrum, tunc fratres ex diversis parentibus nati defuncto fratri succedunt. Legas lib. VI Cod. tit. 58 const. 1 et 3, et memineris Nov. LXXXIV.

7. Si quis moriatur relicto fratre ex diversis parentibus nato et filiis fratris eodem patre ac matre nati, fratris filii praeferuntur fratri in illius hereditate: nam thii ex iisdem parentibus praeferuntur liberis fratrum ex diversis parentibus natorum. Sciendum autem, si non extent fratres ex utroque parente coniuncti vel liberi talium fratrum, tunc fratres ex diversis parentibus succedere fratri ex uno parente ipsis coniuncto. Memineris Nov. LXXXIV et legas Nov. CXXVII.

8. Si ascendentes et fratres et fratrum liberi subsint, fratrum liberi excluduntur; ascendentes enim omnibus ex latere cognatis praeferuntur exceptis fratribus, ex utroque scilicet parente coniunctis, sicuti superius dictum est. Et notes differentiam, quod, si soli fratres subsint, cum iis vocantur fratrum liberi, sicuti antea didicimus: sin autem ascendentes praeter fratres extent, tunc non vocantur fratrum liberi secundum id, quod hic dictum est. Sed scias, hodie secundum Nov. CXXVII, quam omnino legas, fratrum liberos cum ascendentibus et fratribus vocari.

9. Fratrum liberi thiis praeferuntur, licet et ipsi tertio gradu sint, quoniam et pater eorum, i. e. frater, thiis praeferebatur. Nam frater secundo gradu est, thius autem tertio. Igitur liberi fratris succedunt in locum patris sui, sicuti iam didicimus. Lege autem Nov. CXXVII similiter.

10. Fratre non extante neque fratris filio, reliqui ex latere cognati vocantur, scilicet qui gradu

16) Bodl. ἁρμόσαντος.
17) Deest in Basil.
18) Basil. omittunt ἦν, et verba αυτ. et ὑπεξ. transponunt. Contra Bodl.: κἂν ὑπεξούσιοι κἂν αὐτεξούσιοί εἰσιν.
19) Deest in Basil.
20) Bas. ὑπόντων.
21) Bas. εἰ μὴ ὕπεισι. Cf. not. 23.
22) Bodl. et Basil. ὁμομητρ. καὶ ὁμοπατρ.
23) Bas. κἀκεῖνοι γάρ. Nempe sic quadrat lectio Basilicorum not. 21 relata, si ante κἀκεῖνοι maior interpunctio ponatur.
24) Cod. addit: οἱ παῖδες ἀδελφῶν, suppositis tamen punctis, quae haec verba delenda esse significant.
25) Bas. τελευτῶντος.
26) Bodl. ἑτεροθαλῆ ἀδελφόν.
27) Bodl. et Bas.: ἐπί.
28) Verba ὁμοπ. καὶ in Bas. desunt.
29) Bas. τῶν ἀδελφῶν.
30) Bodl. καί.
31) Bas. τοτε οἱ ἐκ διαφόρων ἀδελφῶν κληρ.
32) Cod. ὅτι οἱ ἀδελφῶν κ. τ. λ. Illud οἱ aperte vitiosum ideoque delendum est.
33) Cod. οἱ καλοῦντες.
34) Cod. τόν.
35) Verba καὶ αὐτοὶ in Bas. desunt.
36) Bas. ἰδίου.
37) Cod.: πρὸς τοὺς (?) τῶν κληρονόμων. In Basil. et Bodl. haec verba desunt, et sunt aperte vitiosa. Quare aliquid

θῶσι πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ ὑπάρχοντες, IN CAPITA *κληρονομοῦσιν.*

Ἴση ἐστὶν ἡ τάξις τῶν ἀῤῥένων καὶ τῶν θηλειῶν συγγενῶν, κἂν EMANCIPATOι *εἰσὶν, ὅσον μέντοιγε πρὸς τοὺς τῶν κληρονόμων βαθμοὺς καὶ πρὸς τὰς ἐπιτροπάς. ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. νη'* [38]) *διάτ. ιδ' καὶ ιε' καὶ τί. νθ' διάτ. α', καὶ μέμνησο τῆς ιη' νεαρᾶς.*

Προτιμῶνται τῶν θηλειῶν οἱ ἄῤῥενες εἰς τὰς ἐπιτροπάς, τελείας ἡλικίας ὑπάρχοντες μέντοιγε [39]), *εἰ μὴ ἄρα μήτηρ ἢ μάμμη πρόκειται* [40]). *αὐταὶ γὰρ προκαλοῦνται* [41]) *εἰς τὸ ἐπιτροπεύειν, προτιμώμεναι παντὸς ἐπιτροπεύειν ὀφείλοντος ὑφεξῃρημένων* [42]) *μόνων τῶν* TESTAMENTA*ρίων* [43]), *ἐὰν δηλονότι ἀποτάξωνται τῇ δευτερογαμίᾳ καὶ τῷ* BELLIAN*ίῳ δόγματι. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. γ' διάτ. β' καὶ γ' καὶ δ' καὶ ε'* [44]), *καὶ μέμνησο τῆς ϟθ' νεαρᾶς.*

Ὁ PUPILLο*ς ἔχει σιωπηρὰν ὑποθήκην. ἀνάγνωθι βι. ε' τοῦ κώδ. τί. λδ' διάτ. β' καὶ γ' καὶ δ' καὶ ε'* [45]), *καὶ μέμνησο τῆς ϟθ' νεαρᾶς.*

Πολλῶν ὄντων τοῦ αὐτοῦ βαθμοῦ ὀφειλόντων ἐπιτροπεύειν ἐπιλεχθῶσί τινες ἐξ αὐτῶν καὶ διοικείτωσαν κινδύνῳ τῶν ὑπολοίπων. ἐξεφωνήθη μηνὶ αὐγούστῳ ἔτει τῆς βασιλείας ιζ' μετὰ τὴν ὑπατείαν βασιλείου ἰνδ. ς'.

ad heredidatem proximiores sunt, et si plures eiusdem gradus inventi fuerint, in capita succedunt.

11. Aequalem locum obtinent per masculos et per feminas cognati, etiamsi emancipati sint, quantum quidem ad gradus heredum et ad tutelas attinet. Legas lib. VI Cod. tit. 58 const. 14 et 15 et tit. 59 const. 1, et memineris Nov. XVIII.

12. Praeferuntur in tutelis masculi, si quidem perfectae aetatis sint, feminis, nisi forte mater sit vel avia: eae enim ad tutelam vocantur et cuique, qui tutor esse deberet, exceptis solis testamentariis praeferuntur, si nimirum secundis nuptiis et Velleiano Senatusconsulto renuntiaverint. Legas lib. V Cod. tit. 3 const. 2 et 3 et 4 et 5 (?), et memineris Nov. LXIV.

13. Pupillus tacitam hypothecam habet. Legas lib. V Cod. tit. 34 const. 2 et 3 et 4 et 5 (?) et memineris Nov. XCIV.

14. Si plures eiusdem gradus sint, qui tutores fieri debeant, nonnulli ex iis eligantur et administrent periculo reliquorum. *Data mense Augusto anno imperii XVII post consulatum Basilii ind. 6.*

Ν ε α ρ ὰ ρ ι θ'.

Περὶ προγάμου δωρεᾶς καὶ περὶ ἄλλων κεφαλαίων.

Τὴν διὰ τοὺς γάμους δωρεάν.

Ἰδικόν ἐστι συνάλλαγμα ἡ προγάμου δωρέα. καὶ σημείωσαι, ὅτι συνάλλαγμα εἶδεν ὁ νόμος τὴν τοιαύτην δωρεάν [1]).

Ὁσησδήποτε ποσότητος εἴη ἡ προγάμου δωρεά, ἔῤῥωται, κἂν μὴ πραχθῇ. ἀνάγνωθι βι. ε' τοῦ τί. γ' διάτ. ιζ'. τὸ δὲ λεχθὲν ἐνταῦθα νόει ἐπὶ μόνου τοῦ μέρους τῆς γυναικός. ὅσον γὰρ πρὸς τὸ μέρος τοῦ ἀνδρός, ἀναιρεῖ αὐτὸ ἡ ρκζ' [2]). *πλὴν μέμνησο τῆς κβ' νεαρᾶς, εἰπούσης, τετρακοσίων λιτρῶν εἶναι τὴν προῖκα· ἔγνως δὲ πολλαχοῦ, ὅτι αἱ προῖκες καὶ αἱ προγάμου δωρεαὶ ἴσαι ὀφείλουσι γίνεσθαι.*

Οἱ δυνάμενοι νέοι διατίθεσθαι καὶ [3]) *ἐλευθερίας καλῶς καταλιμπάνουσιν. ἀνάγνωθι βι. ς'* [4]) *τοῦ κώδ. τί.*

Novella CXIX.

De ante nuptias donatione et de aliis capitulis.

Propter nuptias donationem.

1. Ante nuptias donatio specialis contractus est. Et nota, quod lex eiusmodi donationem pro contractu habuit.

2. Quantaecunque quantitatis ante nuptias donatio sit, valet, licet acta non conficiantur. Lege lib. V Cod. tit. 3 const. 17. Quod autem hic dictum est, accipe de sola parte mulieris; nam quod ad partem mariti attinet, tollit hoc Nov. CXXVII. Ceterum memineris Nov. XXII, quae dicit, dotem quadringentarum librarum esse; didicisti enim saepius, dotes et ante nuptias donationes aequales esse debere.

3. Minores, qui testari possunt, etiam libertates recte relinquunt. Lege lib. VI Cod. tit. 22 const. 4,

---

saltem mutandum erat: quamquam nec ea, quae emendavi, omnino placent. Quid? si vel transponamus illa *πρὸς τὴν κληρονομίαν*, ut ea post verbum *καλοῦνται* collocemus, (cf. textum Novellae 118 c. 3 §. 1), vel plane reiciamus tamquam per errorem intrusa et interpolata ex cap. 11?

38) Bas. *να'*.

39) Deest in Bodl.

40) Bodl. *πρόσκειται.*

41) Bodl. *αὗται γὰρ ἐπικαλοῦνται.*

42) Bodl. *ἐξῃρ.*

43) Bodl. *τῶν κατὰ διαθήκας ἐαθέντων.*

44) Numeri corrupti sunt. Videtur intelligere lib. V Cod. tit. 35, qui tamen nonnisi tres constitutiones in nostris editionibus habet.

45) Nec hic quadrant, quae laudantur, Codicis constitutiones. Imo quae hoc loco habentur, ex fine praecedentis capitis per errorem huc transscriptae esse videntur.

1) Bas. *ὁ νόμος οἶδε τὴν πρὸ γάμου δωρεάν.*

2) Bas. *ρκζ'*.

3) Deest in Basil.

4) Bas. *ζ'*.

κβ' [5]) διάτ. δ', ἔνθα εἴρηται, ὅτι ὁ μείζων τῶν ιδ' ἐτῶν καὶ οὐχ ἧττον [6]) καλῶς διατίθεται.

Ὁ συνιστῶν συμβόλαιον, κἂν [7]) μνημονεύσει [8]) ἐν αὐτῷ ἄλλου συμβολαίου, οὐ προκριματίζει τὴν ἀλήθειαν. ἀνάγνωθι βι. δ' τοῦ κώδ. τί. κβ' διάτ. α', ἔνθα εἴρηται, ὅτι σκοπητέα μᾶλλόν ἐστιν ἡ ἀλήθεια καὶ οὐ [9]) τὰ γράμματα.

Ὁ τῆς ἐγκλήτου δικαστὴς ἐντὸς τῶν ὡρισμένων ἡμερῶν δεχόμενος τὸν ἑαυτὸν ἐμφανίζοντα πληρούτω τὴν ἐξέτασιν, ἄλλο αὐτῆς μὴ προκρίνων. ἀνάγνωθι βι. ζ' τοῦ κώδ. τί. ξβ' διάτ. γ' καὶ θ' καὶ ι'.

Καὶ ἡ τῶν ἐπάρχων ψῆφος ἀναψηλαφᾶται. πᾶς γὰρ δικαζόμενος παρ' αὐτοῖς δύναται ἐντὸς ι' ἡμερῶν μετὰ τὴν ἀπόφασιν διδασκαλικὸν ἐπιδοῦναι, μεμφόμενος τὴν ψῆφον αὐτῶν τῶν ἐπάρχων. τούτου δὲ γινομένου δίδωσιν ὁ νικήσας ἐγγυὰς πρὸς τὴν ποσότητα τῆς καταδίκης πρὸ τοῦ ἐκβιβασμοῦ τῆς ψήφου, ὡς, ἐὰν ἀναψηλαφήσεως νομίμου γενομένης ἀνατραπῇ ἡ ψῆφος, παρέχῃ τὰ πράγματα μετὰ τῶν ἐπαυξήσεων. εἰ δὲ μετὰ τὰς ι' ἡμέρας ἐπιδοθῇ [10]) ὁ LIBELLOς, τότε ὁ ἐκβιβασμὸς χωρὶς ἐγγυῆς γίνεται, τῆς ἀναψηλαφήσεως πάλιν γινομένης ἤτοι φυλαττομένης. μέμνησο τῆς πβ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. δ' διάτ. κθ' καὶ τί. ιθ' διάτ. ε' καὶ βι. ζ' τοῦ κώδ. τί. μβ' διάτ. α' καὶ τί. ξβ' διάτ. ιθ' καὶ τί. ξγ' διάτ. α' καὶ τί. ο' διάτ. α'.

Αἰτουμένης [11]) ἀποκαταστάσεως κληρονομίας παρὰ νέων, παρέστωσαν οἱ [HE]REDITARιοι [12]) δανεισταί· εἰ δὲ ἄπεισι, καλείσθωσαν κηρύγμασι, καὶ ἐὰν μὴ παραγένωνται ἐντὸς γ' μηνῶν, γινέσθω ἡ ἀποκατάστασις, τῶν κληρονομιαίων πραγμάτων φυλαττομένων προνοίᾳ τοῦ ἄρχοντος, ἀναγραφῆς μέντοιγε γενομένης. ἀνάγνωθι βι. β' τοῦ κώδ. τί. λη' διάτ. α' καὶ βι. ε' τί. να' διάτ. δ' καὶ βι. ς' τί. λδ' διάτ. α' καὶ β' καὶ βι. ζ' τί. β' διάτ. γ'.

Ὁ λαβὼν πρᾶγμα παρὰ τοῦ MALA FIDE νομέως καὶ μὴ διαμαρτυρηθείς, USUCAPITεύει αὐτὸ ἐπὶ μὲν παρόντων δεκαετίᾳ, ἐπὶ δὲ ἀπόντων εἰκοσαετίᾳ, ἐὰν δηλονότι ᾔδει ὁ δεσπότης τοῦ πράγματος τὴν ἐκποίησιν. εἰ γὰρ ἠγνόει, ὅτι αὐτῷ ἀνήκει τὸ πραθὲν ἢ ὅτι ὅλως ἐπράθη, οὐκ USUCAPITεύει [13]) ὁ ἀγοράσας, εἰ μὴ παρέλθῃ λ' ἔτη καὶ BONA FIDE ἐνέμετο. ἰστέον δέ, ὅτι ἐὰν κατά τινας καιροὺς εὐλόγως ἀπολειφθῇ ὁ ἔχων τὴν τῆς δεκαετίας παραγραφήν, δίδοται αὐτῷ ἄλλος τοσοῦτος χρόνος, εἰς ὅσον ἀπελείφθη. ἀνάγνωθι βι. ζ' τοῦ κώδ. τί. λ' διάτ. γ' καὶ τί. λα' διάτ. α' καὶ τί. λγ' διάτ. ιβ' καὶ τί. λε' διάτ. α' καὶ βι. η' τί. δ' διάτ. α' καὶ β' καὶ ια'.

Κἂν μὴ γράψῃ ὁ TESTάτωρ δι' ἑαυτοῦ ἀλλὰ δι' ἄλλου τὸ ὄνομα τοῦ κληρονόμου, ἔῤῥωται ἡ διαθήκη αὐτοῦ. μέμνησο τῆς ρζ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. ς' τοῦ κώδ. τί. κγ' διάτ. κα' καὶ κθ' καὶ λα'.

Τὰ ἀπὸ εὐαγοῦς τόπου εἰς δεσποτικὸν οἶκον περιερχόμενα καλῶς ἐκποιοῦνται. ἀνάγνωθι τὰς περὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων νεαράς.

ubi dictum est, eum, qui maior XIV annis, non qui minor sit, recte testamentum facere.

4. Qui instrumentum conficit, licet in eo alterius instrumenti mentionem faciat, non tamen praeiudicat veritati. Lege lib. IV Cod. tit. 22 const. 1, ubi dictum est, magis veritatem spectandam esse, non autem scripturam.

5. Appellationis iudex intra statutos dies eum, qui se manifestat, admittat et cognitionem ad finem perducat, et nihil aliud prae illa diiudicet. Lege lib. VII Cod. tit. 62 const. 3 et 9 et 10.

6. Etiam praefectorum sententia retractatur. Quicunque enim apud eos iudicium accepit, intra decendium post sententiam libellum offerre potest, quo de sententia praefectorum conqueratur. Quod si factum fuerit, victor ante executionem sententiae fideiussores pro quantitate condemnationis dat, ut, si retractatione legitime facta sententia subvertatur, res cum accessionibus reddat. Si vero post decem dies libellus oblatus fuerit, executio absque fideiussione procedit, ita tamen ut retractatio rursus instituatur vel observetur. Memineris Nov. LXXXII, et legas lib. I Cod. tit. 4 const. 29 et tit. 19 const. 5 et lib. VII tit. 42 const. 1 et tit. 62 const. 19 et tit. 63 const. 1 et tit. 70 const. 1.

7. Si in integrum restitutio adversus hereditatem a minoribus postuletur, hereditarii creditores praesentes sunto; si vero absint, edictis vocentur, et si non apparuerint intra tres menses, restitutio procedat, hereditariis rebus officio praesidis custodiendis, post factam nimirum descriptionem. Lege lib. II Cod. tit. 38 const. 1 et lib. V tit. 51 const. 4 et lib. VI tit. 34 const. 1 et 2 et lib. VII tit. 2 const. 3.

8. Qui rem accepit a malae fidei possessore, si non fuerit interpellatus, eam usucapit inter praesentes quidem decem annis, inter absentes vero viginti annis, siquidem dominus rei alienationem cognitam habuit. Sin autem nescierit, rem venditam ad se pertinere vel omnino venditam esse, emtor non usucapit, nisi XXX anni praeterierint et bona fide possederit. Sciendum autem, si, qui habet viginti annorum praescriptionem, per aliquot annos ex iusta causa abfuerit, dari ei tot alios annos, quot abfuerit. Lege lib. VII Cod. tit. 30 const. 3 et tit. 31 const. 1 et tit. 33 const. 12 et tit. 35 const. 1 et lib. VIII tit. 4 const. 1 et 2 et 11.

9. Licet testator non ipse per se, sed per alium nomen heredis scripserit, testamentum eius valet. Memineris Nov. CVII, et legas lib. VI Cod. tit. 23 const. 21 et 29 et 31.

10. Quae a venerabili loco ad imperialem domum perveniunt, recte alienantur. Lege Novellas de rebus ecclesiasticis.

---

5) Bas. κδ'.
6) Bas. ὁ ἧττον.
7) Cod. καί. Legendum aut κἂν (cum Basil.) aut μνημονεύσας.
8) Bas. μνημονεύῃ.
9) Bas. ἢ τὰ γρ.
10) Cod. μὴ ἐπιδοθῇ. Quod corrigendum erat.
11) Cod. Αἰτουμένου, quod non habet, quo referatur.
12) Cod. REDITARιοι.
13) Pro οὐκ US Codex habet: UNS.

Τὸ λεγατευόμενον ξένῳ ἐφ' ᾧ μὴ πραθῆναι[14]*) οὐχ ὑπόκειται τῷ* FALCIDί*ῳ. καὶ σημείωσαι ξένον· καίτοι εἴρηται ἐν τῷ ς' βι. τοῦ κώδ. τί. ν' διάτ. β', ὅτι ἀπὸ παντὸς λεγάτου παρακρατεῖται ὁ φαλκίδιος. ἐξεφωνήθη μηνὶ φεβρουαρίῳ ἔτει ιζ' μετὰ τὴν ὑπατείαν βασιλείου τὸ γ'.*

11. Quod extraneo legatum est sub hac conditione, ne vendatur, Falcidiae non est obnoxium. Et nota hoc singulare esse: nam lib. VI Cod. tit. 50 const. 2 dicitur, ab omni legato retineri Falcidiam. *Data mense Februario anno XVII post consulatum Basilii anno III.*

Νεαρὰ ρκ'.

Περὶ ἐκκλησιαστικῶν συναλλαγμάτων.

Πολλῶν καὶ διαφόρων νόμων.

Μηδεὶς εὐαγὴς οἶκος κωνσταντινουπόλεως[1]*) ἢ τῆς ἐνορίας αὐτῆς, χωρὶς τῶν μοναστηρίων, ἐκποιείτω ἀκίνητον πρᾶγμα ἢ ἀνταλλασσέτω*[2]*), μήτε πολιτικὴν σίτησιν μήτε γεωργικὸν ἀνδράποδον, μήτε διδότω ἐπὶ ἀντιδωρήματι*[3]*) ἢ*[4]*) ἐπὶ ἀνταλλαγῇ, εἰ μὴ μόνον βασιλεῖ*[5]*), μήτε μὴν παρεχέτω ἐπὶ παροικικῷ δικαίῳ. μέμνησο τῆς ζ' καὶ τῆς νε' νεαρᾶς, καὶ ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. ιδ' καὶ ιζ'.*

Ἐμφυτευέτωσαν[6]*) καὶ οἱ σεπτοὶ οἶκοι*[7]*) κωνσταντινουπόλεως τὰ ἀκίνητα αὐτῶν πράγματα ἐπὶ ζωῇ γ' μόνον*[8]*) προσώπων ἐκ διαδοχῆς, τὸ ἕκτον μέρος*[9]*) τοῦ κανόνος*[10]*) κουφίζοντες. καὶ τὰ προάστεια*[11]*), πρόσοδον μὲν ἔχοντα, ἀμειώτως*[12]*) ἐμφυτευέτωσαν, ἀπρόσοδα δὲ ὑπάρχοντα, διδότωσαν αὐτὰ ἐπὶ ῥητῇ τινι ποσότητι. ὅμοιόν φησιν ἡ ζ' νεαρά.*

Ἐὰν τὸ ἐμφυτευθὲν ἐκκλησιαστικὸν πρᾶγμα εἰς βασιλικὸν[13]*) οἶκον ἢ εἰς τὸ*[14]*) ταμεῖον ἢ εἰς βουλευτήριον ἢ εἰς εὐαγῆ οἶκον περιέλθῃ, δύνανται οἱ ἐμφυτεύσαντες ἐντὸς β' ἐτῶν ἢ ἐμμεῖναι τῇ ἐμφυτεύσει ἢ λύσαι αὐτήν. μέμνησο τῆς ζ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. κδ'.*

Τὰ ἐρείπια[15]*) τῆς ἐκκλησίας κωνσταντινουπόλεως*[16]*) διηνεκῶς ἐμφυτευέσθωσαν ἐπὶ τῇ γ' μοίρᾳ τῶν πρὸ τῆς πτώσεως*[17]*) ἐνοικίων ἢ ἐπὶ τῷ ἡμίσει*[18]*) τῶν μετὰ τὴν ὑπὸ τοῦ ἐμφυτευτοῦ γενομένην ἐπανόρθωσιν ἐνοικίων*[19]*).*

Δύνανται δοῦναι οἱ εὐαγεῖς οἶκοι κωνσταντινουπόλεως καὶ USUFRUCT*ον ἀκινήτου πράγματος, ἕτερον πρᾶγμα ἰσότιμον κατὰ δεσποτείαν λαμβάνοντες.*

Αἱ μισθώσεις τῶν εὐαγῶν τόπων μὴ ὑπερβαινέτωσαν τὰ λ' ἔτη. καὶ σημείωσαι· μέμνησο δὲ τῆς ιζ' διατ. τοῦ β' τί. τοῦ α' βι. τοῦ κώδικος.

Novella CXX.

De ecclesiasticis contractibus.

Multis et diversis legibus.

1. Nulla venerabilis domus Constantinopoli vel in regione eius sita, exceptis monasteriis, rem immobilem vendat, aut annonam civilem aut mancipium rusticum, neque remunerationis aut permutationis causa det, nisi imperatori dumtaxat, neque etiam colonario iure det. Memineris Nov. VII et LV, et legas lib. I Cod. tit. 2 const. 14 et 17.

2. Venerabiles domus Constantinopoleos res suas immobiles ad vitam trium personarum sibi succedentium in emphyteusin dent, sextam partem canonis remittentes. Et suburbana, quae quidem reditum habeant, sine aliqua imminutione in emphyteusin dent, sin autem reditum non habeant, sub certa quadam quantitate concedant. Similiter loquitur Nov. VII.

3. Si res ecclesiastica in emphyteusin data ad imperatoriam domum vel ad fiscum vel ad civitatem vel ad curiam vel ad venerabilem domum pervenerit, ii, qui emphyteusin concesserunt, intra biennium aut stare emphyteusi aut solvere eam possunt. Memineris Nov. VII, et legas lib. I Cod. tit. 2 const. 24.

4. Collapsa aedificia ecclesiae Constantinopolitanae in perpetuam emphyteusin dentur pro tertia parte pensionis, quae ante ruinam solvebatur, aut pro dimidia parte pensionis, quae post reparationem ab emphyteuta factam solvebatur.

5. Venerabiles domus Constantinopoleos possunt etiam usumfructum rei immobilis concedere, si proprietatem alius rei, quae eiusdem pretii sit, acceperint.

6. Locationes venerabilium locorum XXX annos ne excedant. Nota hoc: memineris enim const. 17 tit. 2 lib. I Codicis.

---

14) Bodl. *παρακρατηθῆναι.*
1) Bas. *τῆς κωνστ.*
2) Haec verba *η ἀντ.* in Bas. desunt. Merito: namque turbant verborum consequutionem, et de permutatione mox sermo redit.
3) Bas. *ἐπ' ἀντιδώρῳ.*
4) Bas. *μήτε.*
5) Bas. *βασιλείῳ οἴκῳ.*
6) Cod. *ἐμφυτευέσθωσαν.*
7) Bas. *σεμνοὶ τόποι.*
8) Bas. *μόνων.*
9) Cod. *τῷ ἕκτῳ μέρει*, quod ex Basil. correxi.
10) Bas. *αὐτῶν* addunt.
11) Bas. *αὐτῶν* addunt.
12) Bas. *ἀμειώτατα.*
13) Bas. *βασίλειον.*
14) In Bas. *τὸ* deest.
15) Bodl. *ἐρίπια.*
16) Verbum *κωνστ.* in Bas. deest: e contrario Bodl. post *κωνστ.* addit *καὶ τῶν ἐν ἄστει μοναστηρίων.*
17) Cod.: *τῶν πρὸ τῶν τῆς πτ.* Bodl.: *τῶν ἐῤῥωμένων τῆς κτίσεως.*
18) Cod. *τὸ ἥμισυ.*
19) Cod. et Bodl. *τῶν ἐνοικίων*, quod ex Bas. correxi.

Χρεῶν ὑπόντων πωλοῦνται τὰ περιττὰ ἱερὰ[51]) *σκεύη, ἐὰν μέντοιγε κινητὰ πράγματα οὐχ ὕπεισιν. ἰστέον δέ, ὅτι τὰ ἱερὰ σκεύη πωλοῦνται ἑτέρῳ εὐαγεῖ οἴκῳ πάντως*[52]), *ἢ χωνεύονται καὶ τότε πιπράσκονται καὶ ἰδιώτῃ κατὰ τὴν λεχθεῖσαν παρατήρησιν τῶν ἐκποιήσεων. μέμνησο τῆς μς´ νεαρᾶς.*

Ἐὰν παρὰ τὰ εἰρημένα πραθῇ ἢ ἄλλως ἐκποιηθῇ πρᾶγμα ἐκκλησιαστικόν, ἀναδίδοται μετὰ τῶν καρπῶν αὐτοῦ, καί, εἴ τι ἐδόθη διὰ τὸ συνάλλαγμα, μένει παρὰ τῇ ἐκκλησίᾳ. μέμνησο τῆς ζ´ νεαρᾶς.

Ἐὰν ἐμφυτευθῇ τι παρὰ τὰ λεχθέντα ἐκκλησιαστικόν[53]), *ἀναδιδότω*[54]) *μὲν τὸ ἐμφυτευθὲν τῇ ἐκκλησίᾳ, μένει δὲ ὁ ἐμφυτευσάμενος οὐδὲν ἧττον τελῶν ὅπερ ἔδοξε πάκτον. μέμνησο τῆς ζ´ νεαρᾶς.*

Ἐὰν δωρηθῇ τινι παρὰ τὰ εἰρημένα ἐκκλησιαστικὸν[55]) *πρᾶγμα, αὐτὸ μὲν ἀναδίδοται τὸ δωρηθέν, οἱ δὲ καρποὶ αὐτοῦ τῇ ἐκκλησίᾳ ἀποκαθίστανται.*

Ἐὰν ὑποτεθῇ τινι[56]) *ἐκκλησιαστικὸν πρᾶγμα παρὰ τὰ λεχθέντα, τὸ μὲν ὑποτεθὲν ἀναδίδοται*[57]) *τῇ ἐκκλησίᾳ, τὸ δὲ χρέος αὐτοῦ ὁ δανειστὴς ζημιοῦται.*

Νομικὸς ὑπουργῶν τοῖς παρὰ τὴν προκειμένην διάταξιν γινομένοις συμβολαίοις διηνεκῶς ἐξορίζεται. ἐξεφωνήθη μηνὶ ἰουλίῳ ἰνδ. ζ´ μετὰ τὴν ὑπατείαν βασιλείου τὸ γ´.

23. Si debitis [ecclesia] sit obnoxia, superflua sacra vasa venduntur, nimirum si res mobiles non subsint. Sciendum autem, quod sacra vasa aut alii omnino venerabili domui venduntur, aut conflantur et sic vel privato venduntur secundum praedictam alienationum observantiam. Memineris Nov. XLVI.

24. Si adversus dicta res ecclesiastica vendita fuerit vel alio modo alienata, cum fructibus eius redditur, et, si quid ob contractum datum sit, hoc apud ecclesiam manet. Memineris Nov. VII.

25. Si adversus dicta res ecclesiastica in emphyteusin data fuerit, emphyteusis quidem ecclesiae restituitur, emphyteuta vero nihilo minus pacto, de quo convenit, obstrictus manet. Memineris Nov. VII.

26. Si cui adversus dicta res ecclesiastica donata fuerit, id, quod donatum est, redditur, et fructus eius ecclesiae restituuntur.

27. Si cui adversus dicta res ecclesiastica obligata fuerit, pignus ecclesiastica obligata fuerit, pignus ecclesiae redditur, et creditor, quod ipsi debetur, amittit.

28. Tabellio, qui instrumentis adversus hanc constitutionem conficiendis ministerium praebet, in perpetuum relegatur. *Data mense Iulio ind. 7 post consulatum Basilii anno III.*

Νεαρὰ ρκα´.

Περὶ τόκων.

Βουλευτὰς δεομένους.

Οἱ κατὰ μικρὸν[1]) *καταβαλλόμενοι τόκοι [εἰς]*[2]) *τὸ διπλοῦν συμψηφίζονται, κἂν μὴ καθάπαξ ὑφ᾽ ἓν κατεβλήθησαν. ἀνάγνωθι βι. δ´*[3]) *τοῦ κώδ. τί. λβ´ διατ. ι´*[4]) *καὶ βι. η´ τί. μ´ διατ. κθ´, καὶ μὴ λάθῃ σὲ ἡ ρλη´ νεαρά.*

Novella CXXI.

De usuris.

Decuriones petentes.

1. Usurae per tempora solutae in duplum computantur, etiamsi non universae simul solutae sint. Legas lib. IV Cod. tit. 32 const. 10 et lib. VIII tit. 40 const. 29, nec te lateat Nov. CXXXVIII.

Νεαρὰ ρκβ´.

Ἴδικτον περὶ διατυπώσεως τεχνιτῶν.

Πᾶς τεχνίτης καὶ μισθωτὴς[1]) *καὶ ἔμπορος κατὰ τὴν παλαιὰν*[2]) *διατύπωσιν μισθούτω καὶ πωλείτω· εἰ γάρ τι περιττὸν λάβῃ, ὑποκείσθω*[3]) *τῇ τοῦ τριπλασίονος ποινῇ. ἀνάγνωθι βι. η´ τοῦ κώδ. τί. δ´ καὶ ι´ διάτ. ιβ´.*

Novella CXXII.

Edictum de constitutione artificum.

1. Omnis artifex et conductor et mercator secundum antiquam constitutionem conducat vel vendat; quod si quid amplius acceperit, tripli poenae subiaceat. Lege lib. VIII Cod. tit. 4 et 10 const. 12.

---

51) Deest in Bas.
52) Bas. transpositis verbis: *πάντως ἑτ. εὐαγ. οἴκῳ.*
53) Bas.: *τι ἐκκλ. παρὰ τὰ λεχθ.*
54) Bas. *ἀναδίδοται.*
55) Bas. *Ἐὰν δὲ δωρηθῇ ἐκκλ.*
56) Bas. *τι*, voce *πρᾶγμα* mox omissa.
57) Cod. ex superiori capite per errorem hic repetit verba: *τὸ δωρηθέν*, quae in Bas. merito desunt.

1) Bas. *μέρος.*
2) Deest in Cod. — Bas. *ἐν τῷ διπλῷ.*
3) Cod. *βι. δ´ καὶ ι´.* Ex Bas. correxi.
4) Bas. *κζ´.*

1) Hal. *μισθωτός.*
2) Pro *παλ.* Hal. habet *πράσεως.*
3) Hal. *ὑπόκειται.*

Νεαρὰ ρκγ'.

Περὶ ἐπισκόπων καὶ κληρικῶν.

Περὶ διοικήσεως καὶ προνομίων.

Πᾶς ἐπίσκοπος γενέσθω κατὰ ψήφισμα, δηλοῦν, ὡς γράμματα οἶδε καὶ ἄπαις ἐστὶ καὶ ἄγαμος, καὶ ὡς οὐκ ἔχει πολλακὴν οὐδὲ φυσικοὺς παῖδας, καὶ ὡς, εἰ ἔσχε γαμετήν, παρθένον καὶ μίαν μόνην νομίμως τε καὶ ἐπιτετραμμένην τοῖς θείοις κανόσιν ἠγάγετο. ὁμοίως φησὶν ἡ ϛ' νεαρά. ἀνάγνωθι δὲ καὶ βι. α' τοῦ κώδ. τί. δ' καὶ γ' διάτ. μα' καὶ μζ'.

Ὁ βευλευτὴς ἢ ταξεώτης μὴ γενέσθω ἐπίσκοπος, εἰ μὴ ἄρα πρῶτον ἐμόνασεν ἐπὶ ιε' ἔτη· παρὰ γὰρ τοῦτο εἰ γένηται, ἀποδιδότω τῇ οἰκείᾳ τύχῃ. ὁμοίως φησὶν ἡ ϛ' νεαρά. ἀνάγνωθι δὲ βι. α' τοῦ κώδ. τί. β' διάτ. κα' καὶ νβ'.

Ὁ ἥττων τῶν λε' ἐτῶν οὐ γίνεται ἐπίσκοπος. τοῦτο ἀναιρεῖ ἡ ρλζ' νεαρά, λέγουσα δύνασθαι εἶναι ἐπίσκοπον τὸν ὄντα λ' ἐτῶν.

Βουλευτὴς ἢ ταξεώτης ἐλευθεροῦται τῆς ἰδίας τύχης, δηλονότι ἐὰν τὰς θ' οὐγκίας τῆς ἰδίας περιουσίας ἔδωκε τῇ βουλῇ ἢ τῷ δημοσίῳ. ἀνάγνωθι βι. α' τοῦ κώδ. τι. γ' διάτ. δ' καὶ κζ' καὶ νβ'.

Καὶ λαϊκὸς δύναται ψηφισθῆναι ἐπίσκοπος, κληρούμενος μέντοιγε πρῶτον καὶ ποιῶν γ' μῆνας διδασκόμενος τὴν ἐκκλησιαστικὴν κατάστασιν. μέμνησο τῆς ϛ' νεαρᾶς.

Ἐὰν μὴ ἐντὸς ϛ' μηνῶν γένηται τοῦ ἐπισκόπου ψήφισμα ὑπὸ τῶν κληρικῶν, οὓς[1]*) θέλῃ ποιεῖ ὁ ὀφείλων χειροτονεῖν κινδύνῳ τῆς ψυχῆς αὐτοῦ. καὶ σημείωσαι.*

Ὁ παρὰ τὰ λεχθέντα χειροτονούμενος ἐκπίπτει τῆς χειροτονίας· ὁμοίως δὲ καὶ ὁ χειροτονῶν παρὰ ταῦτα χωρίζεται τῆς λειτουργίας καὶ προσκυροῦται τῇ ἐκκλησίᾳ ἡ οὐσία αὐτοῦ.

Ἐὰν ὁ μέλλων γενέσθαι ἐπίσκοπος ἢ κληρικὸς κατηγορηθῇ, μὴ χειροτονείσθω πρὸ τῆς ἐξετάσεως· ἀλλ' ἐὰν ἐξετασθῇ τὸ κατ' αὐτόν, καὶ ἡττηθῇ ὁ κατήγορος ἢ ἀπολειφθῇ ἐπὶ γ' μῆνας, ἐξορίζεται, τῶν παραβαινόντων ἐπισκόπων ὑποκειμένων τοῖς αὐτῶν[2]*) ἐπιτιμίοις. μέμνησο τῆς ϛ' νεαρᾶς.*

Οἱ ἐπίσκοποι προῖκα γινέσθωσαν. ἐὰν γὰρ δοθῇ τι διὰ τὴν χειροτονίαν, καὶ ὁ λαβὼν καὶ ὁ δεδωκὼς καὶ ὁ μεσιτεύσας ἐκπίπτει τῆς ἱερωσύνης, καὶ τὸ δοθὲν τῇ ἐκκλησίᾳ ἁρμόζει, ἐὰν μέντοιγε ὑπὸ χειροτονίαν ἐστίν· εἰ δὲ λαϊκὸς εἴη ὁ δεδωκώς τι ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ, διπλᾶ διδότω· πάσης ἀσφαλείας ἀργούσης προφάσει τῆς χειροτονίας, καὶ ἑτέρου τοσούτου τῇ ἐκκλησίᾳ παρεχομένου, ὅσον ἡ ὁμολογία περιέχει τοῦ εἰληφότος αὐτήν. ὁμοίως φησὶν ἡ ϛ' νεαρά. ἀνάγνωθι δὲ καὶ βι. α' τοῦ κώδ. τί. γ' διάτ. λα' καὶ μα'.

Μόνας τὰς περιεχομένας συνηθείας τῇ παρούσῃ διατάξει παρεχέτωσαν οἱ ἐπίσκοποι· εἰ γὰρ πλεῖόν τις λάβῃ, ἐν τριπλῷ ἀπαιτεῖται αὐτό.

Ἡ ἐπισκοπὴ λύει ὑπεξουσιότητα, οὐ μὴν ἀλλὰ καὶ δουλικὴν καὶ ἐναπογραφικὴν τύχην. ὁμοίως φησὶν ἡ πα'

---

1) Malim: ὅν. Sed consentit Bodl.

Novella CXXIII.

De episcopis et clericis.

De gubernatione et privilegiis.

1. Omnis episcopus per decretum fiat, quod significet, literarum eum esse peritum et liberos vel uxorem non habere, nec concubinam naturalesve liberos, et, si habuerit uxorem, hanc virginem duxisse et solam et quam legibus et sacris canonibus ducere liceret. Similiter loquitur Nov. VI. Lege etiam lib. I Cod. tit. 4 (?) et 3 const. 41 et 47.

2. Curialis vel officialis ne fiat episcopus, nisi forte prius quindecim annos inter monachos fuerit: sin praeter haec factus sit, conditioni suae reddatur. Similiter loquitur Nov. VI. Lege autem lib. I Cod. tit. 2 const. 21 et 52.

3. Minor XXXV annis non fit episcopus. Hoc tollit Nov. CXXXI, quae dicit, episcopum esse posse, qui XXX annorum sit.

4. Curialis vel officialis conditione sua liberatur, siquidem novem uncias substantiae suae curiae vel fisco dederit. Lege lib. I Cod. tit. 3 const. 4 et 27 et 52.

5. Etiam laicus episcopus creari potest, ita tamen, ut primum clericus fiat et per tres menses constitutionem ecclesiasticam discat. Memineris Nov. VI.

6. Nisi intra VI menses decretum de episcopo a clericis factum sit, is, qui ordinare debet, quem volet, ordinat periculo animae suae. Et nota hoc.

7. Qui adversus dicta ordinatur, ordinatione excidit; similiter etiam is, qui adversus dicta ordinat, a liturgia removetur eiusque substantia ecclesiae addicitur.

8. Si, qui episcopus vel clericus fieri debet, accusetur, ante examinationem non ordinetur; sed si accusatio eius examinata fuerit, et accusator victus sit vel per tres menses non apparuerit, exilio puuitur, episcopis, qui hoc transgressi fuerint, suis poenis subiiciendis. Memineris Nov. VI.

9. Episcopi gratis fiant. Quodsi quid datum sit ob ordinationem, tam qui accepit quam qui dedit vel intercessit, sacerdotio excidit, et quod datum est, ecclesiae cedit, siquidem is sub ordinatione sit: si vero laicus sit, qui ob huiusmodi causam aliquid dederit, duplum praestet: et omnis cautio ordinationis gratia irrita sit, et alterum tantum eius, quod complectitur promissio ordinati, ecclesiae detur. Similiter loquitur Nov. VI. Lege etiam lib. I Cod. tit. 3 const. 31 et 41.

10. Solum eas consuetudines, quae praesenti constitutione continentur, episcopi praestent: quodsi quis plus acceperit, triplum ab eo exigitur.

11. Episcopatus patriam potestatem solvit, nec non servilem et adscriptitiam conditionem. Similiter

---

2) Malim: αὐτοῖς. Cf. *Athanas.* I, 2. (*Heimbach* Ἀνέκδ. I p. 5 lin. 6.)

νεαρά· προστίθεμεν δὲ ἡμεῖς, ὅτι καὶ βουλῆς ἐλευθεροῖ[3]).

Ἐὰν πρὸ τῆς διατάξεως ἐγένετο ἐπίσκοπος ὁ βουλευτὴς ἢ ὁ ταξεώτης, τῶν μὲν πρῴην αὐτοῦ πραγμάτων θ' οὐγκίας λαμβάνει ἡ βουλὴ ἢ τὸ δημόσιον, ἐπειδὴ ἐλευθεροῦται τῆς ἑαυτοῦ τύχης. τὰ δὲ κτηθέντα αὐτῷ ἐν τῷ καιρῷ τῆς ἐπισκοπῆς τῇ ἐκκλησίᾳ ἁρμόζει πρὸς ταῖς ἄλλαις γ' οὐγκίαις. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. νβ'.

Οἱ ἐπίσκοποι καὶ οἱ μοναχοὶ μὴ γινέσθωσαν ἐπίτροποι ἢ κουράτωρες, κἂν[4]) θέλωσιν· οἱ δὲ κληρικοὶ δύνανται εἶναι, εἰ βούλονται, μόνον μέντοιγε τῶν ἰδίων συγγενῶν, μὴ προκριματιζόμενοι περὶ ἄλλας κηδεμονίας. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. να'.

Κληρικὸς μὴ γενέσθω ἐκλήπτωρ μήτε ἀπαιτητὴς δημοσίων μήτε μισθωτὴς μήτε κουράτωρ οἴκου μήτε ἐντολεὺς μήτε ἐγγυητής, ἀλλὰ μόνον τὰ διαφέροντα πράγματα ταῖς ἐκκλησίαις ἢ ἄλλῳ ἑτέρῳ οἴκῳ σεπτῷ ἐκλαμβανέτω ἢ κατὰ μίσθωσιν ἢ κατὰ ἐμφύτευσιν, δηλουμένης αἰτίας ἐπὶ πράξεως ὑπομνημάτων. ἀνάγνωθι βι. [α'][5]) τοῦ κώδ. τί. γ' διάτ. β' καὶ ς' καὶ ιζ' καὶ λβ'.

Ὁ παρὰ τὰ εἰρημένα ποιῶν, εἰ μὲν ἐπίσκοπός ἐστιν, προσκυροῦται πᾶσα ἡ οὐσία αὐτοῦ τῇ ἐκκλησίᾳ, εἰ δὲ κληρικὸς εἴη, ποινὴν δίδωσιν, ἣν ἂν ὁρίσῃ ὁ τούτου ἐπίσκοπος.

Αἱ ἐκκλησίαι καὶ οἱ λοιποὶ σεπτοὶ οἶκοι καλῶς μισθοῦσι καὶ ἐμφυτεύουσιν ἀλλήλοις, οὐ μὴν ἀλλὰ καὶ τοῖς ἰδίοις κληρικοῖς χωρὶς τῶν κεκωλυμένων ἐξ αὐτῶν τοῦτο ποιεῖν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. ιδ' καὶ ιζ'.

Οἱ πιστεύσαντες κληρικοῖς ἐκλήψεις[6]) οὐκ εὐθύνουσιν οὔτε αὐτοὺς οὔτε τὰς αὐτῶν οὐσίας.

Οἱ ἐπίσκοποι καλῶς μαρτυροῦσιν ἐν τῷ ἰδίῳ ἐπισκοπείῳ παρόντων δημοσίων προσώπων καὶ προκειμένων τῶν θείων λογίων. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. ζ', καὶ μὴ ἐναντιωθῇ σοι τὸ ἐκεῖσε εἰρημένον· φησὶ γάρ[7]), ὅτι οὐχ ἕλκονται εἰς μαρτυρίαν ἄκοντες οἱ ἐπίσκοποι.

Χωρὶς θείας κελεύσεως οὐ παρίσταται οὐδὲ διάγεται[8]) ἐπίσκοπος, κἂν χρηματικὴ [κἂν ἐγκληματικὴ][9]) εἴη αἰτία· καὶ ἐὰν ἄρχων τοῦτο ποιήσῃ, ἐκπίπτει τῆς ζώνης αὐτοῦ καὶ κ' χρυσίου λίτρας παρέχει τῇ ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος ὑβρίσθη, οἱ δὲ ἐκβιβασταὶ ὁμοίως καὶ αὐτοὶ τῆς ζώνης ἐκπίπτουσιν καὶ βασανιζόμενοι ἐξορίζονται[10]). τοῦτο νόει, ὅτε περὶ ἰδικοῦ πράγματος ἐνάγεται· περὶ γὰρ τῶν ἐκκλησιαστικῶν οὐ κατέχεται παντελῶς, ἀλλὰ ὁ οἰκονόμος αὐτοῦ εὐθύνεται, ὡς ὑποκατιοῦσά φησιν ἡ παροῦσα διάταξις. ἀνάγνωθι δὲ βι. α' τοῦ κώδ. τί. γ' διάτ. λβ' καὶ λς' καὶ τί. δ'.

Ἐπίσκοπος οὐκ ἀποδημεῖ χωρὶς ἐπιτροπῆς τοῦ ἰδίου πατριάρχου ἢ μητροπολίτου ἢ ἐκτὸς θείας κελεύσεως· ἀλλὰ καὶ εἰ κατὰ[11]) τὰ εἰρημένα ἐκδημήσει, οὐ δύναται

loquitur Nov. LXXXI; nos autem addimus, [episcopatum] etiam a curia liberare [?].

12. Si curialis vel officialis ante hanc constitutionem episcopus factus sit, rerum, quas antea habuit, novem uncias curia vel fiscus accipit, quoniam a conditione sua liberatur: quae vero tempore episcopatus acquisivit, una cum reliquis tribus unciis ecclesiae competunt. Lege lib. I Cod. tit. 3 const. 52.

13. Episcopi et monachi ne fiant tutores vel curatores, quamvis voluerint: clerici autem fieri possunt, si voluerint. sed tantum cognatorum suorum, nec inde praeiudicantur circa alias tutelas vel curas. Lege lib. I Cod. tit. 3 const. 51.

14. Clericus ne fiat susceptor nec exactor publicorum nec conductor nec curator domus nec procurator nec fideiussor, sed tantum res, quae ad ecclesias vel ad aliam venerabilem domum pertinent, conducat vel in emphyteusin sumat, causa sub actorum confectione declaranda. Lege lib. I Cod. tit. 3 const. 2 et 6 et 17 et 32.

15. Qui adversus dicta committit, siquidem episcopus sit, omnis eius substantia ecclesiae addicitur, si vero clericus sit, poenam solvit, quam episcopus eius statuerit.

16. Ecclesiae et reliquae venerabiles domus recte sibi invicem locant et emphyteuses constituunt, atque etiam clericis suis, exceptis iis, qui hoc facere prohibentur. Lege lib. I Cod. tit. 2 const. 14 et 17.

17. Qui clericis susceptiones crediderunt, nec ipsos nec substantias eorum conveniunt.

18. Episcopi recte testimonium dicunt in aedibus episcopalibus praesentibus publicis personis et propositis sacris oraculis. Legas lib. I Cod. tit. 3 const. 7, nec tibi contrarium videatur, quod ibi dictum est: scilicet dicitur, ad testimonium dicendum invitos episcopos non trahi.

19. Absque divina iussione neque exhibetur neque ducitur episcopus, sive civilis sive criminalis causa sit; et si praeses hoc fecerit, cingulo suo excidit et XX libras auri ecclesiae, cuius episcopus iniuria affectus est, solvit, et executores quoque similiter cingulo excidunt et tormenta passi relegantur. Hoc intellige, quum ob privatam causam convenitur: de ecclesiasticis enim omnino non tenetur, sed oeconomus eius rationes reddit, sicuti in sequentibus praesens constitutio dicit. Lege vero lib. I Cod. tit. 3 const. 32 et 36 et tit. 4.

20. Episcopus non peregre proficiscitur sine permissione patriarchae sui metropolitaeve vel sine divina iussione; sed et si secundum dicta peregre profe-

3) Haec verba: προστίθεμεν κ. τ. λ. an *Theodori* sint, valde dubito. Certe secundum Nov. 123 c. 4 dicendum erat, ὅτι βουλῆς οὐκ ἐλευθεροῖ.

4) Cod. ἐάν.

5) Deest in Cod.

6) Cod. ἐκλίψεις.

7) Haec verba: φησὶ γάρ in Bodl. desunt.

8) Bodl. διαδέχεται.

9) Inclusa in Cod. desunt; addidi ex Bodl.

10) Cod.: ὁ δὲ ἐκβιβαστὴς ὁμοίως καὶ αὐτὸς μετὰ τῆς ζώνης ἐκπίπτουσιν καὶ βασανιζόμενοι ἐξορίζονται. Bodl. τὸ αὐτὸ καὶ οἱ ἐκβιβασταὶ καὶ βασανισθέντες ἐξορίζονται. Utrumque vitiosum est. Nov. 123 cap. 8: „καὶ τοῦ ἐκβιβαστοῦ ὁμοίως μετὰ τὴν τῆς ζώνης ἀφαίρεσιν καὶ βασάνοις ὑποβαλλομένου καὶ ἐν ἐξορίᾳ πεμπομένου."

11) Cod. παρά, quod falsum esse tam textus Novellae quam quod in nostro sequitur caput demonstrant.

περαιτέρω τοῦ ἐνιαυτοῦ ποιεῖν ἔξωθεν τῆς αὐτοῦ ἐκκλησίας, καὶ εἰ καλούμενος ἀπειθήσει, ἐξωθείσθω. μέμνησο τῆς ς' νεαρᾶς.

8. Qui volet, adversus adiectionem locorum appellat, et appellationem huiusmodi examinant praefecti. Lege lib. XI Cod. tit. 58 const. 5, ubi dicitur, intra annum quemlibet de peraequatione ipsi facta conqueri posse.

---

1) Haec verba: *καὶ περὶ ἀρχόντων*, quae ad rubricam pertinent, librarius perperam in sequenti linea post verba initialia Novellae adiecit. Idem factum est in Indice; cf. ibi not. 17.
2) Cod. *δίδωσιν*.
3) Cod. *κτίσεων*.
4) Cod. *κινσοφ*.
5) Numerus dubius est. An *δ'*?
6) Cod. *ἀναγκαζέτωσαν*.
7) Sic Codex. Vide etiam *Heimbach* *'Αν.* I p. 171 not. 38. — Vulgo *ἐξπελλευτὴς* scribitur.
8) Cod. *ἐπιβολλήν*.

Χρὴ τὴν ἐπιβολὴν ψήφῳ τοῦ ἄρχοντος γίνεσθαι.

Ὑπερτιθεμένης[9]) *τῆς ἐπιβολῆς*[10]) *δι' ἀπορίαν προσώπου, δηλούσθω διὰ πράξεως ἡ ποσότης τῆς οὐσίας καὶ διοικείσθω ὑπὸ τῶν δημοσιευτῶν, ἕως ὅτε φανῇ ὁ τῇ*[11]) *ἐπιβολῇ ὑποκείμενος, ὅστις ἀμείωτον ὀφείλει λαβεῖν τὴν ἐπιβληθεῖσαν οὐσίαν. ἀνάγνωθι βι. ια' τοῦ κώδ. τί. νθ' διάτ. α'.*

Οἱ συντελεσταὶ μὴ παρεχέτωσαν παραπομπικὰ ὑπὲρ τῶν κατὰ χώραν δαπανωμένων· ὑπὲρ γὰρ τῶν ἐκπεμπομένων διδότωσαν κατὰ τὸ ἔθος παραπομπικά.

Ἰδιωτικὴ ἢ δημοσία χρεία πρὸ ἐμφανείας μὴ ἐκβιβαζέσθω. ἀνάγνωθι βι. γ' τοῦ κώδ. τί. β' διάτ δ'.

Ὁ δημόσια ἀπαιτῶν οὐκ ἐκβιβάζει δημοσίαν[12]) *χρείαν· τοῦτο γὰρ ποιῶν στρατείας ἐκπίπτει καὶ ἐξορίζεται, ὡς κεῖται βι. ιβ' τί. ξ' διάτ. ϛ'.*

Ὁ χρεωστῶν δημόσια, εἰ μὴ ἀπορεῖ, οὐ DELEGAT*εύει τὸν ἴδιον χρεώστην, ἀλλὰ καὶ πρῶτον τὸ χρέος ζητεῖται παρὰ τῷ ἄρχοντι, εἰ ὅλως ἐῤῥωται. ἐὰν οὖν ἐκβιβάσει τις παρὰ τὰ εἰρημένα, ἀποστρατεύεται καὶ δημοσιευόμενος ἐξορίζεται, ζημιουμένου τοῦ ἐπιτρέψαντος*[13]) *ἄρχοντος τοῦτο γενέσθαι ιε' λίτρας χρυσίου καὶ τῆς τάξεως αὐτοῦ ὁμοίως τὸ αὐτὸ ποσὸν παρεχούσης. ἀνάγνωθι βι. δ' τοῦ κώδ. τί. μϛ' διάτ. α' καὶ βι. ι' τί. θ' διάτ. β'.*

Ὁ διοικῶν δημόσια, βλάπτων τινὰ περὶ συντέλειαν, οὐ κέχρηται λόγῳ ἀσυλίας· ἀνάγνωθι τὴν ρξα' νεαράν. ἀλλὰ καὶ τὸ διπλοῦν ἀπαιτεῖται περισσοπρακτῶν, ὡς βι. β' τοῦ κώδ. τί. ια' διάτ. β' καὶ βι. ι' τί. κ' διάτ. α'. ὁ δὲ ἄρχων καὶ τετραπλοῦν μεθοδεύεται, ὡς εἴρηται[14]) *βι. θ' τί. κζ' διάτ. α' καὶ βι. ι' τί. μη' διάτ. η'.*

Μηδεὶς ἀπαιτείσθω δημόσια ὑπὲρ ἧς οὐ νέμεται κτήσεως, μήτε μὴν ὑπὲρ τῶν ἰδιοκτήτων ἰδίων γεωργῶν. ὁμοίως φησὶν ἡ ιζ' νεαρά· ἀνάγνωθι δὲ καὶ βι. ι' τοῦ κώδ. τί. ιγ' διάτ. α' καὶ β' καὶ βι. ιβ' τοῦ κώδ. τί. ξ' διάτ. δ'.

Τὰ δημόσια μέτρα καὶ τὰ σταθμία[15]) *ἀποκείσθωσαν ἐν τῇ ἑκάστης πόλεως ἐκκλησίᾳ καὶ πρὸς αὐτὰ συντελείτωσαν οἱ ὀφείλοντες. ἀνάγνωθι βι. ι' τοῦ κώδ. τί. οβ' διάτ. ιε' καὶ τί. ογ' διάτ. α'.*

Οἱ διοικοῦντες δημόσια καὶ οἱ ἄρχοντες καὶ οἱ ταξεῶται μὴ παρεμβαλλέτωσαν ἑαυτοὺς πολιτικοῖς χρήμασιν, ἐπεὶ οἱ δημοσιεύοντες ἀμειώτως αὐτὰ παρέχουσιν, καὶ οὔτε οἱ κτήτορες νοσφίζονταί τι ἐξ αὐτῶν οὔτε ὑπὲρ διαγραφῶν παρέχουσιν. ἀνάγνωθι βι. ια' τοῦ κώδ. τί. λα'.

Ὁ νοσφιζόμενος πολιτικὰ χρήματα ἐν διπλῷ αὐτὰ μεθοδεύεται. ἀνάγνωθι τὸ τέλος τῆς ρξ' νεαρᾶς.

Τοὺς τὰ πολιτικὰ διοικοῦντας προβάλλονται οἱ ἐπίσκοποι καὶ οἱ πρωτεύοντες λογοθετοῦντες αὐτούς. εἰ εὕρωσιν, ὅτι ἀνεπιτήδειοί εἰσιν, ἀποκινοῦσιν αὐτούς. μέμνησο τῆς κδ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. δ' διάτ. κϛ' καὶ βι. η' τί. ιβ' διάτ. α'.

9. Oportet adiectionem sententia praesidis fieri.

10. Si adiectio differatur propterea quod persona deficiat, in actis quantitas substantiae designetur, eaque ab exactoribus administretur, donec apparuerit, qui adiectioni obnoxius est, qui substantiam adiectam imminutam accipere debet. Lege lib. XI Cod. tit. 59 const. 1.

11. Collatores parapompica ne praestent super his, quae in terra expenduntur: super his autem, quae emittuntur, parapompica praestent secundum consuetudinem.

12. Privatae vel publicae exactionis executio ne fiat ante insinuationem. Lege lib. III Cod. tit. 2 const 4.

13. Publicorum exactor non exsequitur privatam (?) exactionem: nam si fecerit hoc, militia excidit et relegatur, sicuti dictum est lib. XII tit. 60 const. 6.

14. Qui publica debet, si non fuerit non solvendo, non delegat debitorem suum: verum etiam prius apud praesidem quaeritur, an debitum omnino valeat. Si quis igitur adversus dicta exactionem fecerit, a militia removetur et publicatus relegatur, praeside, qui hoc fieri permiserit, XV libris auri mulctando et officio eius similiter eandem quantitatem praestante. Lege lib. IV Cod. tit. 46 const. 1 et lib. X tit. 9 const. 2.

15. Qui publica administrat, si quem circa collationem laeserit, non utitur iure asyli: lege Nov. CLXI. Sed et duplum ab eo repetitur, si nimium exegerit, ut lib. II Cod. tit. 11 const. 2 et lib. X tit. 20 const. 1; a praeside vero vel quadruplum petitur, ut dictum est lib. IX tit. 27 const. 1 et lib. X tit. 48 const. 8.

16. A nemine exigantur publica pro possessione, quam non possidet, neque vero etiam pro colonis eius adscriptitiis. Similiter loquitur Nov. XVII; lege vero etiam lib. X Cod. tit. 13 const. 1 et 2 et lib. XII Cod. tit. 60 const. 4.

17. Publicae mensurae et pondera in cuiusvis urbis ecclesia conserventur, et secundum illa tributarii collationem faciant. Lege lib. X Cod. tit. 72 const. 15 et tit. 73 const. 1.

18. Qui publica administrant, et praesides et officiales ne se immisceant civilibus pecuniis, sed exactores eas sine diminutione praebeant, et possessores nec auferunt quicquam ex iis nec super descriptionibus praebent. Lege lib. XI Cod. tit. 31.

19. Qui civiles pecunias abstrahit, duplum reddere compellitur. Lege finem Nov. CLX.

20. Publicorum administratores episcopi et primores creant et rationes ab iis exigunt. Si minus idoneos esse repererint, removent eos. Memineris Nov. XXIV, et legas lib. I Cod. tit. 4 const. 26 et lib. VIII tit. 12 const. 1.

---

9) Cod. *ὑπερτιθέμενος.*

10) Cod. *ἐπιβουλῆς.*

11) Cod. *ὅτι.*

12) Omnino legendum: *ἰδιωτικήν.* Coll. Nov. 128 c. 11; *Athanas.* XX, 1 (*Heimbach* '*Αν.* I p. 172 circa not. 69); *Iulian.* cap. 551.

13) Cod. *ἐπιστρέψ.*

14) Cod. *ὡς εἴρηται ὁ δὲ ἄρχων — μεθοδεύεται ὡς βι. κ. τ. λ.*

15) Cod. *στάθμια.*

Μηδεὶς στρατευόμενος μήτε σκρινιάριος τῶν ἔργων [τῶν] 16) *ἐπάρχων γενέσθω λογοθέτης τῶν πολιτικῶν, κἂν θείαν ἐπιφέρεται κέλευσιν· ἀλλ' ὁ ἐπίσκοπος καὶ οἱ πρωτεύοντες ἀποθήσωνται* 17) *αὐτὸν καὶ μηνύσωσι τῷ βασιλεῖ, ἵνα ὁ ζημιώσας τὴν πόλιν* 18) *θεραπεύσῃ αὐτὴν ἐξ ἰδίων καὶ ἀγανακτηθῇ ὑπὸ τῶν δεσποτῶν. μέμνησο τῆς κδ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. ι' τοῦ κώδ. τί. λ' διάτ. δ' καὶ ε'.*

Γινέσθω ὁ λογοθέτης τῶν πολιτικῶν ἐπιλογῇ βασιλικῇ, καὶ τοῦτο ῥητῶς ἐπιτρεπέσθω ἐκ θείας κελεύσεως 19) *δηλούσης τὸ ὄνομα καὶ τὴν ἀξίαν αὐτοῦ καὶ τὰς αἰτίας καὶ τοὺς χρόνους τοῦ λογοθεσίου. ὁμοίως φησὶν ἡ κδ' νεαρά. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. δ' διάτ. κς' καὶ βι. ι' τί. λ' διάτ. δ'.*

Μηδεὶς γενέσθω τοποτηρητὴς ἐπάρχων εἰ μὴ ἐξ ἡμετέρας κελεύσεως ἐν EXPEDI*τῳ, ἐπεὶ ὁ μὲν γινόμενος ι' λίτρας χρυσίου δίδωσιν ἐκπίπτων τῆς ἀξίας καὶ στρατείας, ὁ δὲ ποιήσας αὐτὸν λ' λίτρας χρυσίου ζημιοῦται καὶ ἀποκαθιστᾷ τὰς ἐκ τούτου συμβάσας ἑκάστῳ ζημίας. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. κς' καὶ μαθήσῃ τὰ περὶ ἐπάρχων.*

Ὁ ὢν ἄρχων ἐν ᾗ ἄρχει ἐπαρχίᾳ μὴ ποιείτω τοποτηρητὴν ἑαυτῷ, ἐπεὶ καὶ αὐτὸς καὶ ὁ γενόμενος ἀνὰ ε' λίτρας χρυσίου ζημιοῦται. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. ν' 19 b) *διάτ. α' καὶ β', ἔνθα εἴρηται, ὅτι καὶ τοποτηρητὴν δύναται ἔχειν ὁ ἄρχων, ἀλλὰ δηλονότι ἀπόντος αὐτοῦ· φησὶ καὶ ρλδ' νεαρά.*

Οὐκ ἐπιτέτραπται τοποτηρηταῖς κόψαι μέλος ἀνθρώπου οὐδὲ τιμωρεῖσθαί τινα ἐσχάτως.

Πᾶς ἄρχων φυλαττέσθω δι' ἑαυτοῦ τὴν χώραν ἧς ἄρχει, καὶ μὴ λαμβανέτω ὑπὲρ τούτου τίποτε, μηδὲ προβαλλέσθω 20) *ληστοδιώκτην ἢ τριβοῦνον ἢ ἄλλον τοιοῦτον, ἐπεὶ αὐτὸς μὲν ἐκπίπτει τῆς ἀρχῆς καὶ ι' λίτρας χρυσίου ζημιοῦται, ὁ δὲ ἀνασχεθεὶς προβληθῆναι βασανίζεται καὶ δημευόμενος ἐξορίζεται. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. μ' καὶ μαθήσῃ τὰ περὶ τῶν ἀρχόντων. ἀνάγνωθι καὶ τὴν ρλδ' νεαράν.*

Οἱ ἄρχοντες καὶ οἱ ταξεῶται μὴ ἀγγαρευέτωσάν τινα, ἀλλὰ καὶ οἴκοθεν δαπανάτωσαν.

Διαδεχθέντες οἱ ἄρχοντες ν' ἡμέρας ποιείτωσαν ἐν ᾗ ἦρξαν ἐπαρχίᾳ πρὸς ὑποδοχὴν τῶν κατ' αὐτῶν ἐναγωγῶν. αὐτῶν γὰρ μὴ μενόντων ὀμνύουσιν οἱ ζημιωθέντες ἐπὶ τοῦ ἐπισκόπου, τί ἠδικήθησαν, καὶ πάσχουσι τὸ ἀζήμιον· ἐκ τῶν πραγμάτων τῶν φυγόντων ἀρχόντων κινδύνῳ τῶν ἐπάρχων καὶ τῶν τρακτευτῶν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. μθ' διάτ. α' καὶ νεαρὰν ρλδ'· μέμνησο δὲ καὶ τῆς η' νεαρᾶς.

Ὁ ἄρχων REVOCATO*ρίαν δεξάμενος καταλιμπανέτω ἐν ᾗ ἦρξε χώρᾳ ἐντολέα πρὸς τὸ ἀπολογεῖσθαι τοῖς αὐτῷ ἐνάγουσιν· τοῦτο γὰρ αὐτοῦ μὴ ποιοῦντος πάσχουσι τὸ ἱκανὸν οἱ ἀδικηθέντες ἐκ τῆς οὐσίας αὐτοῦ. ἀνάγνωθι τὴν ρξα' νεαράν. ἐξεφωνήθη μηνὶ ἰουνίῳ ἔτει ιη' τῆς βασιλείας μετὰ τὴν ὑπατείαν βασιλείου τὸ δ'.*

21. Nullus officialis nec scriniarius operum praefectorum ratiocinator civilium fiat, licet divinam iussionem protulerit; sed episcopus et primores deponant eum et nuntient imperatori, ut ille damnum, quod urbi intulit, ex propriis restituat et in indignationem principum incidat. Memineris Nov. XXIV, et legas lib. X Cod. tit. 30 const. 4 et 5.

22. Ratiocinator civilium electione imperatoris constituatur, et expresse per divinam iussionem destinetur, quae significet nomen et dignitatem eius et causas et tempora, quorum rationes ei mandatae sint. Similiter loquitur Nov. XXIV. Lege lib. I Cod. tit. 4 const. 26 et lib. X tit. 30 const. 4.

23. Nemo fiat vicarius praefectorum nisi ex nostra iussione in expeditione, alioquin ipse X libras auri persolvit et dignitate militiaque excidit, is autem, qui eum fecit [vicarium], XXX libris auri mulctatur et restituit damna, quae ex hoc alicui contigerunt. Lege lib. I Cod. tit. 26 et disces, quae ad praefectos pertinent.

24. Praeses in provincia, cui praeest, vicarium sibi ne constituat: alioquin ille et hic V libris auri mulctatur. Lege lib. I Cod. tit. 50 const. 1 et 2, ubi dictum est, praesidem etiam vicarium habere posse, scilicet si ipse absit; [idem] dicit etiam Nov. CXXXIV.

25. Vicariis non est permissum abscidere membrum hominis vel aliquem ultimo supplicio subiicere.

26. Omnis praeses ipse provinciam, cui praeest, custodiat nec quicquam propter hoc percipiat, neque latronum persecutorem vel tribunum vel alium similem designet; alioquin ipse praesidatu excidit et X libris auri mulctatur, is autem, qui se designari passus est, tormentis subiicitur et publicatus relegatur. Lege lib. I Cod. tit. 40 et disces, quae ad praesides pertinent; lege etiam Nov. CXXXIV.

27. Praesides et officiales a nemine angarias exigant, sed ex propriis sumtus faciant.

28. Praesides, quibus successores dati sunt, L dies faciant in provincia, cui praefuerunt, ut actiones adversus se suscipiant. Nam si non remanserint, qui laesi sunt, apud episcopum iurant, in quantum laesi sint, et satisfit iis ex bonis fugientium praesidum periculo praefectorum et tractatorum. Legas lib. I Cod. tit. 49 const. 1 et Nov. CXXXIV; memineris vero etiam Nov. VIII.

29. Praeses, qui revocatoriam accepit, in provincia, cui praefuit, procuratorem relinquat, qui responsurus sit convenientibus eum. Quod si non fecerit, iis, qui laesi sunt, ex substantia eius satisfit. Lege Nov. CLXI. *Data mense Iunio anno XVIII imperii post consulatum Basilii anno IV.*

---

16) Deest in Codice.
17) Fortasse legendum: *ἀπωθήσονται.*
18) Cod. *πόλην.*
19) Post *κελεύσεως* Cod. haec verba addit: *ἐν* EXPEDI*τῳ ἐπεὶ ὁ μὲν γινόμενος*, sed uncinis includit, utpote delenda. Nimirum ex sequenti capite male intrusa erant.
19 b) Cod. *νδ'.*
20) Cod. *προβάλλεσθαι.*

Νεαρὰ ρκθ'.

Περὶ σαμαρειτῶν.

Οὐδὲν οὕτω μέγα.

Οἱ σαμαρεῖται διατιθέσθωσαν καὶ ἐξ ἀδιαθέτου κληρονομείσθωσαν καὶ δωρείσθωσαν καὶ λεγατευέτωσαν, ὅσα βούλονται, καὶ πάντα κατὰ νόμους πραττέτωσαν. ἀνάγνωθι τὴν ρμδ' νεαράν, λέγουσαν, τοὺς σαμαρείτας μὴ κληρονομεῖν μήτε λεγάτα λαμβάνειν.

Διαδεχέσθω ὁ χριστιανὸς τὸν σαμαρείτην ἐξ ἀδιαθέτου, προτιμώμενος τοῦ σαμαρείτου, ἐν ᾧ τοῦ αὐτοῦ βαθμοῦ εἰσιν. πλὴν εἰ γένηται ὁ σαμαρείτης χριστιανός, καλῶς συγκληρονομεῖ τῷ χριστιανῷ, ζημιούμενος μέντοιγε τοὺς ἐν τῷ μέσῳ καρπούς. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. κβ' καὶ νεαρὰν ρμδ'.

Ἀνιόντων καὶ κατιόντων χριστιανῶν καὶ σαμαρειτῶν ὑπόντων τῷ τελευτήσαντι οἱ σαμαρεῖται γράφονται εἰς β' οὐγκίας μόνον κληρονόμοι, καὶ τὰ ὑπόλοιπα οἱ χριστιανοὶ λαμβάνουσιν, εἰ μὴ ἄρα ἐαθῇ ἐξ αὐτῶν πρεσβεῖόν τινι χριστιανῷ· πλὴν ἴσθι πάλιν κἀνταῦθα, ὡς εἰ γένωνται χριστιανοὶ οἱ σαμαρεῖται, τὴν ἴσην τάξιν τοῖς χριστιανοῖς δύνανται ἔξειν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. ε' διάτ. ιγ' καὶ ιη' καὶ ιθ'.

Ἐὰν χριστιανοὶ ἀδικηθῶσι περὶ διανομὴν οὐσίας ὑπόντων σαμαρειτῶν δύνανται ἔχειν τὴν DE INOFFICIOSO.

Δωρείσθωσαν ἀλλήλοις οἱ σαμαρεῖται καὶ λεγατευέτωσαν καὶ ἐλευθερούτωσαν τοὺς οἰκείους δούλους, τοῦ δημοσίου μηδεμίαν ἔχοντος μετουσίαν περὶ τὰς αὐτῶν ὑποστάσεις. τοῦτο νόει, ἐὰν χριστιανοῖς δωρήσονται. ἀνάγνωθι τὴν ρμδ' νεαράν. ἐξεφωνήθη μηνὶ ἰουλίῳ ἔτει κβ' τῆς βασιλείας μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ι'.

Novella CXXIX.

De Samaritis.

Nullum tam magnum.

1. Samaritae testamenta faciant et ab intestato heredes habeant et donent et legent, quae voluerint, et omnia secundum leges peragant. Lege Nov. CXLIV, quae dicit, Samaritas neque succedere neque legata capere.

2. Christianus ab intestato Samaritae succedat, et praeferatur Samaritae, si eiusdem gradus sint. Sed si Samarita Christianus fiat, recte cum Christiano succedit, ita tamen ut circa fructus interim perceptos damnum sentiat. Lege lib. I Cod. tit. 3 const. 22 et Nov. CXLIV.

3. Si ascendentes et descendentes Christiani et Samaritae defuncto subsint, Samaritae solum ex II unciis heredes scribuntur, et reliqua Christiani accipiunt, nisi forte legatum ex his Christiano alicui relictum sit; sed scias etiam hic, Samaritas, si Christiani fiant, aequalem cum Christianis ordinem habituros esse. Lege lib. I Cod. tit. 5 const. 13 et 18 et 19.

4. Si Christiani laedantur circa divisionem substantiae, ubi Samaritae subsunt, de inofficioso agere possunt.

5. Donent sibi invicem Samaritae et legent et manumittant servos suos, nec fiscus potestatem aliquam in eorum substantiam habeat. Hoc accipe, si Christianis donaverint. Lege Nov. CXLIV. *Data mense Iulio anno XXII imperii post consulatum Basilii anno X.*

Νεαρὰ ρλ'.

Περὶ παρόδου στρατιωτῶν.

Πρώτην καὶ μεγίστην.

Ἐπέσθωσαν[1]) *τοῖς στρατεύμασι* DELEGATORες, *φροντίζοντες τῆς αὐτῶν ἀποτροφῆς εὐτρεπιζομένης ὑπὸ τῶν ἀρχόντων, καὶ ῥογευόμενοι διὰ τῶν ὀπτιόνων, οἵτινες ιε' μέρος εἰς παραμυθίαν τῶν δαπανωμένων ἔχωσιν, ὧν* RECAUTA *γινέσθω.*

Μηδεὶς προῖκα δαπανάτω τὴν ἀποτροφὴν τῶν στρατιωτῶν.

Κεκώλυνται τὰ INTROITA. *ἀνάγνωθι βι. ιβ' τοῦ κώδ. τί. μα' διάτ. α', ἔνθα εἴρηται, ὅτι ἐπαρχεώτης μὴ θέλων οὐ δίδωσι ξύλα ἐλαιῶν οὐδὲ τυλάρια στρατιώταις.*

Τὰ κατὰ χώραν εὑρισκόμενα εἴδη ῥογευέτωσαν οἱ στρατιῶται.

Novella CXXX.

De transitu militum.

Primum et maximum.

1. Exercitus sequantur delegatores, qui curam gerant alimentorum a praesidibus parandorum et erogationes faciant per optiones, XV partem in solatium sumtuum retinentes, et recauta facientes.

2. Nemo gratis suppeditet alimenta militum.

3. Introita prohibita sunt. Lege lib. XII Cod. tit. 41 const. 1, ubi dictum est, provincialem invitum non praebere militibus ligna olearum nec culcitras.

4. Species, quae per terram inveniuntur, milites pro annonis exigant.

---

1) Cod. *ἐπέστησαν*. Sed vide *Athanasium* XX, 2.

Λογιζέσθω τοῖς συντελεσταῖς εἰς τὰ δημόσια αὐτῶν ἡ τοῖς RECAUT*οις περιεχομένη ποσότης.*

Ἐν διόδῳ ἀπαργυρισμὸς μὴ διδότω.

RECAUT*ων μὴ γινομένων δηλούσθω ἡ δαπάνη διὰ πράξεως συνισταμένη*[2]*) παρὰ τῷ ἐπισκόπῳ καὶ τῷ ἄρχοντι, καὶ λογιζέσθωσαν τοῖς ἀναλώσασιν.*

Προμητάτορες πεμπέσθωσαν τῶν στρατιωτῶν, εὐτρεπίζοντες τὰ χρειώδη[3]*), καὶ μηδὲν ἀπαργυρίζοντες. ἀνάγνωθι βι. ιβ' τοῦ κώδ. τί. μ' διάτ. θ'.*

Ἡ γινομένη πρᾶξις δηλούτω τὴν ζημίαν λογισθησομένην τοῖς ἀδικηθεῖσι, τῶν ἐξάρχων καὶ διασωστῶν διπλᾶ παρεχόντων καὶ τῶν προμητατόρων ἐξοριζομένων.

Οἱ ἄρχοντες μὴ προευτρεπίζοντες τὰ πρὸς τὴν χρείαν τῶν στρατιωτῶν ἀποκινοῦνται καὶ δημευόμενοι ἐξορίζονται μετὰ τῶν ἰδίων ταξεωτῶν καὶ εἶθ' οὕτως τὸ ἀζήμιον ποιοῦσι τοῖς συντελεσταῖς.

Μὴ μητατευέσθω αὐθεντικὸς οἶκος, ἐν ᾧ ὁ μητάτωρ μένει. ἀνάγνωθι βι. ιβ' τοῦ κώδ. τί. μ' διάτ. δ' καὶ ε' καὶ η' καὶ ι' καὶ ια', καὶ μαθήσῃ, ποῖοι οἶκοι οὐ μητατεύονται. ἐξεφωνήθη μηνὶ μαρτίῳ μετὰ τὴν ὑπατείαν βασιλείου τὸ δ'.

5. Computetur collatoribus ad tributa eorum quantitas, quae recautis continetur.

6. In transitu ne flat pecuniae numeratio.

7. Si recauta non fiant, sumtus declarentur actis apud episcopum et praesidem conficiendis, iique computentur collatoribus.

8. Prometatores ante milites mittantur, qui necessaria parent, nec tamen pecuniam exigant. Lege lib. XII Cod. tit. 40 const. 9.

9. Acta, quae conficiuntur, detrimentum declarent, quod laesis computandum sit, et exarchi diasostaeque duplum restituant et prometatores relegentur.

10. Praesides, si non paraverint quae militibus necessaria sunt, removentur et publicati relegantur cum officialibus suis et sic deinde collatoribus satisfaciunt.

11. Metata non praestet domini habitatio, in qua metator degit. Lege lib. XII Cod. tit. 40 const. 4 et 5 et 8 et 10 et 11, et disces, quaenam domus metatorum vacationem habeant. *Data mense Martio post consulatum Basilii anno IV.*

Νεαρὰ ρλα'.

Περὶ ἐκκλησιαστικῶν κανόνων καὶ πραγμάτων ἀποκαταστάσεως καὶ ὀρφανοτρόφων[1]*). Ἴσον θείου τύπου*[2]*).*

Περὶ ἐκκλησιαστικῶν κανόνων καὶ προνομίων καὶ ἄλλων κεφαλαίων[3]*).*

Οἱ ἐκκλησιαστικοὶ κανόνες τάξιν νόμων ἐχέτωσαν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. ιβ'.

Ὁ ἀρχιεπίσκοπος ῥώμης πρώτην ἔχει τάξιν ἀπὸ ὅλων τῶν ἐπισκόπων καὶ ἀρχιεπισκόπων, ὁ δὲ κωνσταντινουπόλεως ἀρχιεπίσκοπος δευτέραν ἐχέτω τάξιν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. ις', ἔνθα φησίν, ὅτι ὁ κωνσταντινουπόλεως ἀρχιεπίσκοπος πρὸ ὅλων κάθηται· πλὴν ἀνήρηται.

Ὁ PRIM*ας* IUSTINIAN*ῆς ἐπίσκοπος ἀρχιεπισκόπου τάξιν ἔχει καὶ ὑπὸ τῆς οἰκείας συνόδου χειροτονεῖται, ἔχων ὑπ' αὐτὸν τοὺς ἐπισκόπους δακίας* MEDITERANE*ας [καὶ]*[4]*)* RIPENSI*ας καὶ* PREBALE*ος καὶ δαρδανίας καὶ μυσίας ἀνωτέρας καὶ παννωνίας· τὴν γὰρ τάξιν τοῦ ἐπισκόπου ῥώμης ἔχει*[5]*) ἐν ταῖς ὑπ' αὐτὸν ἐπαρχίαις. μέμνησο τῆς ια' νεαρᾶς.*

Αἱ ἐκκλησιαστικαὶ κτήσεις οὐχ' ὑπόκεινται ῥυπαραῖς λειτουργίαις, οὐδὲ EXTRAORDINARI*ως διαγράφονται, ἀλλ'*

Novella CXXXI.

De ecclesiasticis canonibus et rerum restitutione et orphanotrophis. Exemplum sacrae formae.

De ecclesiasticis canonibus et privilegiis et aliis capitibus.

1. Ecclesiastici canones vicem legum obtineant. Lege lib. I Cod. tit. 2 const. 12.

2. Archiepiscopus Romae primum locum obtinet inter omnes episcopos et archiepiscopos, Constantinopolis autem archiepiscopus secundum obtineat locum. Lege lib. I Cod. tit. 2 const. 16, ubi dicitur, Constantinopolis archiepiscopum omnibus praesidere; haec tamen abrogata est.

3. Primae Iustinianae episcopus archiepiscopi locum obtinet et a propria synodo ordinatur, habens subiectos episcopos Daciae Mediterraneae et Ripensis et Praevalitanae et Dardaniae et Mysiae superioris et Pannoniae; scilicet vicem episcopi Romani in eparchiis, quae ei subsunt, habet. Memineris Nov. XI.

4. Ecclesiasticae possessiones non subiacent sordidis functionibus nec extraordinariis descriptionibus,

---

2) Malim: *συνισταμένης.*
3) Cod. *χρεώδη.*
1) Cod. *ὀρφανοτρόφου*, quod ex Indice correxi.
2) Haec verba: *Ἴσον θ. τ.* novam lineam in Codice constituunt, quasi sint verba initialia Novellae. Sed ad rubricam pertinent, cui aut anteponenda sunt aut addenda.
3) Haec verba initialia Novellae secunda manus in margine Codicis adscripsit.

4) Deest in Cod. — Caeterum quod ad provinciarum nomina, quae hoc loco proferuntur, attinet, nihil omnino mutare volui. Vide *Hombergkii* et *Spangenbergii* ad Nov. 131 cap. 3 notas, et *Heimbach* *Ἀν.* I p. 34 not. 91 — 93. De provincia Praevalitana cf. *Böcking* Notitia dignitatum. Bonnae 1839. Tom. I p. 153 not. 158.
5) Cod. *ἔχειν.* Mox idem: *ὑπ' αὐτῶν.*

ἐντάσσονται εἰς μόνας[6]) *τὰς ὁδοστρωσίας*[7]) *καὶ ἐπιμελείας τῶν γεφύρων. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. ε' καὶ ζ' καὶ ια'.*

Τὰ ἀπὸ βουλευτῶν περιερχόμενα εἰς εὐαγῆ οἶκον τῇ τῶν LUCRATI*βων διαγραφῇ ὑπόκεινται*[8]). *σημείωσαι οὖν διὰ τὴν κβ' διάτ. τοῦ β' τί. τοῦ α' βι. τοῦ κώδικος.*

Ἡ τῶν μ' ἐτῶν παραγραφὴ ἀντίκειται ταῖς ἐκκλησίαις. ὅμοιόν φησιν ἡ ρια' νεαρά.

Ἐὰν κτίζεται σεβάσμιος οἶκος, εὐχὴ γενέσθω ἐπ' αὐτῷ παρὰ τοῦ ἐπισκόπου τῶν τόπων καὶ ὁ τίμιος σταυρὸς πηγνύσθω, καὶ οὕτως πληρούσθω τὸ κτίσμα. οὕτως γὰρ ἔγνως ἐκ τῆς ξζ'[9]) *νεαρᾶς. ἀφορίζεται ὁ παρὰ ταῦτα κτίζων.*

Ἐν ἰδιωτικῷ οἴκῳ ἱερὰ λειτουργία μὴ γινέσθω χωρὶς κληρικοῦ τῶν τόπων, ἐπεὶ ὁ οἶκος προσκυροῦται τῇ ἐκκλησίᾳ. ἐὰν δέ τις μισθωσάμενος οἶκον δώσει αὐτὸν εἰς ἱερὰν λειτουργίαν, ἐκπίπτει αὐτοῦ καὶ τὰ λοιπὰ αὐτοῦ πράγματα προσκυροῦνται τῇ ἐκκλησίᾳ, καὶ οὐ ζημιοῦται ὁ δεσπότης τοῦ οἴκου, ἐὰν ἠγνόησε μέντοιγε τὸ γινόμενον. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. α' διάτ. β' καὶ τί. γ' διάτ. ιε' καὶ τί. ε' διάτ. γ' καὶ ε', καὶ μέμνησο τῆς νη' νεαρᾶς.

Ὁ καταλιμπάνων τι τῷ δεσπότῃ θεῷ[10]) *καὶ χριστῷ δοκεῖ καταλιπεῖν τῇ ἐκκλησίᾳ τοῦ τόπου, ἐν ᾧ ἐστίν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. κε'.*

Ὁ ἐάσας τι ἑνὶ τῶν ἁγίων μὴ προσθεὶς τὸν τόπον, πολλῶν ὄντων εὐκτηρίων τοῦ αὐτοῦ ἁγίου, [δοκεῖ καταλιπεῖν τῷ πενεστέρῳ, ἢ ἔνθα συνείθιζεν. ἐὰν δὲ οὐκ ἔστιν εὐκτήριον τοῦ ἁγίου][11]) *ἐν ἐκείνῳ [τῷ]*[11]) *τόπῳ, διδόσθω τὰ ἐαθέντα τῷ ὄντι οἴκῳ τοῦ ἁγίου ἐν τῇ ἐνορίᾳ ἐκείνῃ· ἐν ἀπορίᾳ δὲ πάντων προσκυροῦται τῇ ἐκκλησίᾳ τοῦ τόπου. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. κε'.*

Τὸ ἐπιτραπὲν κτισθῆναι εὐκτήριον πληρούσθω ἐντὸς ε' ἐτῶν ὑπὸ τοῦ κληρονόμου τοῦ κελεύσαντος. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. β' διάτ. ιε'.

Τοὺς εὐαγεῖς τόπους κτιζέτωσαν εἴσω ἐνιαυτοῦ οἱ ἐπιτραπέντες ὑπὸ[12]) *τοῦ τεστάτορος· καὶ εἰ μὴ τελειώσωσι*[13]) *τὴν οἰκοδομήν, ἀναγκάζονται ἐν τῷ μεταξὺ οἶκον ἀγοράσαι ἢ μισθώσασθαι καὶ τὸ εὐσεβῶς προσταχθὲν πέρατι παραδοῦναι*[14]). *τοὺς δὲ ὀφείλοντας προνοεῖν τῶν αὐτῶν εὐαγῶν οἴκων κατὰ τὴν τοῦ τεστάτωρος γνώμην ἐπιλεγέσθω ὁ κληρονόμος, ἄδειαν ἔχοντος τοῦ ἐπισκόπου ἐποπτεύειν τὴν αὐτῶν διοίκησιν, καὶ εἰ φανῶσιν ἀνεπιτήδειοι, ἀμειφθῶσιν ὑπὸ τοῦ ἐπισκόπου καὶ ἄλλους ἀντικαθιστάτω κατ' αὐτῶν*[15]).

Τὰ εἰς ἀποτροφὴν πενήτων καταλιμπανόμενα διανεμέτω ὁ ἐπιτραπεὶς ὑπὸ τοῦ ἐάσαντος αὐτὰ ἢ ὁ ἐπίσκοπος τῶν τόπων ἐκείνων, ὥσπερ καὶ τὰ ἐαθέντα εἰς λύτρωσιν αἰχμαλώτων. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. κη'.

Τὰς εὐσεβεῖς δαπάνας ἐφοράτωσαν οἱ ἐπίσκοποι, κἂν

sed solum ob viarum structuras et pontium curam censentur. Lege lib. I Cod. tit. 2 const. 5 et 7 et 11.

5. Quae a curialibus ad religiosam domum perveniunt, lucrativorum inscriptioni obnoxia sunt. Nota hoc propter const. 22 tit. 2 lib. I Codicis.

6. Quadraginta annorum praescriptio ecclesiis obstat. Similiter loquitur Nov. CXI.

7. Si venerabilis domus aedificetur, preces ibi fundantur ab episcopo locorum et veneranda crux defigatur, et sic aedificium exstruatur. Sic enim didicisti ex Nov. LXVII. Excommunicatur, qui adversus haec aedificaverit.

8. In privata domo sacra liturgia ne fiat absque clerico locorum: alioquin domus ecclesiae adiudicatur. Sin qui domum conduxit, eam ad sacram liturgiam concesserit, is ea excidit et reliqua eius bona ecclesiae adiudicantur, dominus autem domus damnum non patitur, si quidem ignoraverit, quod factum est. Legas lib. I Cod. tit. 1 const. 2 et tit. 3 const. 15 et tit. 5 const. 3 et 5, et memineris Nov. LVIII.

9. Qui aliquid domino Deo et Christo relinquit, videtur id ecclesiae loci, in quo est, relinquere. Lege lib. I Cod. tit. 2 const. 25.

10. Qui aliquid uni sanctorum relinquit, nec locum adiicit, siquidem multa oratoria eiusdem sancti sint, pauperiori vel ei, quod adire consueverat, id reliquisse videtur. Si vero non sit oratorium eius sancti in illo loco, quae relicta sunt, domui sancti, quae in illo territorio est, dentur; sin nulla omnino reperiatur, ecclesiae loci adiudicantur. Lege lib. I Cod. tit. 2 const. 25.

11. Oratorium aedificari iussum intra quinquennium ab herede iubentis perficiatur. Lege lib. I Cod. tit. 2 const. 15.

12. Venerabiles locos intra annum aedificent, qui a testatore iussi sunt; et si aedificium non perfecerint, coguntur interim aedificium emere vel conducere et quod pie iussum est ad finem perducere. Eos autem, qui illas venerabiles domos administrare debent, heres secundum voluntatem testatoris eligat, ita tamen ut licentiam habeat episcopus, administrationem eorum inspicere, et si minus idonei esse videantur, ab episcopo mutentur isque alios in locum eorum constituat.

13. Alimenta pauperibus relicta distribuat is, qui a relinquente iussus est, vel episcopus illorum locorum, et ita quoque, quae ad redemtionem captivorum relicta sunt. Lege lib. I Cod. tit. 3 const. 28.

14. Erogationes in pias causas episcopi invigi-

---

6) Cod. *μονάσας*.
7) Cod. *ὁδωστρ.*
8) Negationem (*οὐχ ὑπόκεινται*) addendam esse, suadet contextus Nov. 131 cap. 5: „*εἴ τινα — περιέλθωσιν, ἐλεύθερα εἶναι ταῦτα θεσπίζομεν τῆς τῶν* LUCRATIV*ων διαγραφῆς.*" Sed nihil mutavi; nam *Theodorus* c. 22 C. *de SS. ecclesiis* tamquam contrariam laudare, ideoque aliam lectionem sequutus esse videtur.

9) Cod. *ξγ'*.
10) Litterae *εῷ* in Codice vix legi possunt.
11) Inclusa in Codice desunt, nec lacuna ibi indicata est. Supplevi ex Basil.
12) Bas. *παρά*.
13) Bas. *τελειώσουσι*.
14) Bas. *δοῦναι*.
15) Bas. *καὶ εἰ μὴ φανῶσιν ἐπιτήδειοι, ἄλλους ἀντικαθιστᾶν*.

ῥητῶς ἐκωλύθησαν, ἅστινας ἀναζητείτω ὁ θέλων. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. με'.

Οἱ ἐπιτραπέντες τὶ χρηστὸν ποιεῖν ὑπὸ τοῦ τεστάτορος, εἰ ὑπερθῶνται καὶ ὑπομνησθῶσι δεύτερον ὑπὸ τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου διὰ δημοσίων προσώπων καὶ εἰ μὴ πληρώσουσι τὸ προσταχθέν, ἐκπίπτουσι τοῦ ἁρμόζοντος αὐτοῖς κληρονομιαίου μέρους, καὶ λοιπὸν λαμβάνει αὐτὸ μετὰ τῶν ἐπαυξήσεων ὁ ἐπίσκοπος καὶ πληροῖ τὸ ἐπιτραπέν. εἰ δὲ οἱ κληρονόμοι εἴπωσι μὴ ἀρκεῖν τὴν οὐσίαν εἰς τὸ προσταχθέν, τότε λαμβάνουσι τὸν FALCIDιον καὶ [ἡ][16]) ὑπόλοιπος πᾶσα οὐσία δαπανᾶται εἰς τὸ κελευσθέν.

Τὸ ἐαθὲν λεγάτον ἀπαιτεῖται ἐντὸς ἓξ μηνῶν μετὰ τὴν ἐπιφάνειαν αὐτοῦ· εἰ δὲ ὑπερτεθῇ, μεθοδεύει ὁ λεγατάριος καὶ τὴν ἐπαύξησιν αὐτοῦ τὴν ἀπὸ τῆς τελευτῆς τοῦ τεστάτορος.

Τὸ ἀνναλίως[17]) λεγατευθὲν σεβασμίῳ τόπῳ διδόσθω ἀνυπερθέτως. εἰ δὲ πόῤῥω ἔστι τὸ ἐαθὲν πρᾶγμα ἢ ὁ διδούς, [τηνικαῦτα ἐκεῖνος, ᾧ τοῦτο καταλέλειπται, εἰ καὶ τὸ ἐνεχόμενον μέρος συναινεῖ,] αὐτὸ ἀμειβέσθω[18]) μετὰ προσθήκης τετάρτου μέρους, ἐπεὶ πιπρασκέσθω[19]) εἰς λε' ἔτη. μέμνησο τῆς ξε' νεαρᾶς.

Δύναται πᾶς ἐπίσκοπος ἐκποιεῖν δι' εὐσεβεῖς μόνον αἰτίας εἴτι μετὰ τὴν ἐπισκοπὴν ἐκτήσατο, καὶ εἰ ὑπολειφθῇ τινα ἐξ αὐτῶν, προσκυροῦται τῇ ἐκκλησίᾳ. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. μα' καὶ μη'.

Οἱ ἐπίσκοποι καὶ οἱ τῶν εὐαγῶν τόπων διοικηταὶ ἐξουσιαζέτωσαν εἰς ἐκεῖνα καὶ μόνον τὰ πράγματα[20]), ἃ ἔσχον πρὸ τῆς προβολῆς, καὶ ἃ μετὰ τὴν προβολὴν ἐκτήσαντο ἐκ διαδοχῆς τῶν οἰκείων[21]) συγγενῶν ἄχρι δ' βαθμοῦ. μέμνησο τῆς ρκγ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. μδ'.

Πᾶς ἐπίσκοπος ἢ διάκονος ἢ ἁπλῶς κληρικὸς ἀδιάθετος τελευτῶν, μὴ ἔχων νομίμους κληρονόμους, διαδεχέσθω ὑπὸ τῆς ἐκκλησίας.

Ἐὰν αἱρετικὸς λάβῃ ἀκίνητον πρᾶγμα εὐαγοῦς οἴκου, ἀναδίδωσιν αὐτό, ἀπόλλων ὃ δέδωκεν ὑπὲρ αὐτοῦ· εἰ δὲ ἐξεποίησεν αὐτό, ἐκδικεῖται ἀπὸ τοῦ λαβόντος· καὶ ὁ δεδωκὼς αὐτὸ διοικητὴς ἐκβάλλεται τοῦ εὐαγοῦς οἴκου καὶ ἐμβάλλεται εἰς μοναστήριον, κωλυόμενος ἐπὶ ἐνιαυτὸν κοινωνεῖν.

Μὴ διδότω ὀρθόδοξος αἱρετικῷ[22]) ἀκίνητόν τι ἔχον[23]) ἐκκλησίαν ὀρθόδοξον, ἐπεὶ ἐκπίπτει τῆς δεσποτείας αὐτοῦ καὶ τῇ ἐκκλησίᾳ προσκυροῦται. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. ε' διάτ. ι'.

Αἱρετικοὶ μὴ ἐχέτωσαν σπήλαιον[24]).

Οἱ ἰουδαῖοι μὴ κτιζέτωσαν νέαν συναγωγήν, ἐπεὶ τῇ ἐκκλησίᾳ προσκυροῦται. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. θ' διάτ. ιη'.

Ὁ ἐν εἰδήσει διδοὺς αἱρετικῷ ἀκίνητον κτῆσιν εὐαγοῦς τόπου, προσκυροῦται τῷ τόπῳ καὶ τοὺς τῷ καιρῷ τῆς ἐκδόσεως καρπούς[25]). εἰ γὰρ ἀγνοῶν τοῦτο ποιήσῃ,

lent, licet expresse hoc iis vetitum sit, et, quicunque voluerit, de iis quaestionem moveat. Lege lib. I Cod. tit. 8 const. 45.

15. Qui pium quid facere iussi sunt a testatore, si moram fecerint et bis ab episcopo et oeconomo per publicas personas admoniti sint et si iussa non impleverint, hereditaria portione sibi competente excidunt, et tum episcopus eam cum accessionibus accipit et iussa implet. Si vero heredes dicant, substantiam ad implendum id, quod mandatum est, non sufficere, tunc Falcidiam accipiunt (?) et reliqua omnis substantia impenditur in id, quod iussum est.

16. Legatum relictum intra sex menses post intimationem eius exigitur; si mora fiat, legatarius etiam incrementum petit, quod a morte testatoris cepit.

17. Legatum annuum venerabili loco sine mora solvatur. Si vero res relicta, vel, qui eam dare debet, longe absit, tunc is, cui illa relicta est, si etiam oneratus consentiat, eam permutet cum accessione quartae partis, alioquin vendatur in XXXV annos. Memineris Nov. LXV.

18. Si quis episcopus post episcopatum aliquid acquisiverit, potest hoc alienare dumtaxat ob pias causas, et si qua exinde superfuerint, ecclesiae adiciuntur. Lege lib. I Cod. tit. 3 const. 41 et 48.

19. Episcopi et religiosorum locorum administratores earum tantum rerum dispositionem habeant, quas habuerunt ante creationem, vel quas post creationem acquisiverunt succedendo cognatis suis usque ad quartum gradum. Memineris Nov. CXXIII, et legas lib. I Cod. tit. 3 const. 44.

20. Omni episcopo vel diacono vel simpliciter clerico, qui intestatus moritur, si legitimos heredes non habeat, ecclesia succedat.

21. Si haereticus rem immobilem religiosae domus acceperit, reddit eam, et amittit, quod pro ea dedit; si vero eam alienaverit, ab accipiente vindicatur; et administrator, qui eam dedit, e venerabili domo eiicitur et in monasterium coniicitur, in annum a communicatione prohibendus.

22. Orthodoxus ne tradat haeretico rem immobilem, in qua sita sit orthodoxa ecclesia: alioquin dominium amittit idque ecclesiae adiudicatur. Lege lib. I Cod. tit. 5 const. 10.

23. Haeretici ne habeant speluncam.

24. Iudaei novam synagogen ne exstruant: alioquin ecclesiae adiudicatur. Lege lib. I Cod. tit. 9 const. 18.

25. Qui sciens dedit haeretico rem immobilem religiosi loci, adiudicatur loco et fructus tempore traditionis..(?); quodsi ignorans id fecerit, nullum

16) Deest in Cod. — Totus hic locus aut corruptus est, aut *Theodorus* in Nov. 131 cap. 12 verba: „*παντὸς τοῦ ἐκ τοῦ φαλκιδίου κέρδους σχολάζοντος,*" vel male intellexit vel aliter legit.

17) Cod. *ἀναλίως*.

18) Cod. *ἠδὲ διδοὺς αὐτῷ ἀμηβίεσθω*, inclusa autem non habet. Ego emendavi e Basil.

19) Cod.: *ἐπει πρασκέσθω*. Bas.: *ἢ πιπρασκέτω*.

20) Bas. *ἐξουσ. μόνων ἐκείνων, ἃ ἔσχον πράγματα πρὸ τῆς πρ.*

21) Bas. *ἰδίων*.

22) Bas. *ἢ ἄλλῳ κακοδόξῳ* addunt.

23) Cod. *ἔχων*. — Haec verba *ἔχον ἐκκλ. ὀρθ.* in Basil. desunt.

24) Cod. *σπείλαιον*.

25) Haec omnino corrupta esse crediderim, quamquam Basil. similiter legant (scil. *εὐαγοῦς οἴκου, προσκυρούτω τῷ*

οὐδὲν ζημιοῦται, πλὴν ὁ λαβὼν αἱρετικὸς τὴν κτῆσιν ἐκβάλλεται αὐτῆς, κἂν ᾔδει[26]) κἂν ἠγνόει.

Οἱ ὀρφανοτρόφοι τάξιν ἔχουσι κουρατόρων καὶ ἐπιτρόπων, καὶ ἐνάγουσι καὶ ἐνάγονται ὑπὲρ τῶν ὀρφανῶν χωρὶς ἱκανοδοσίας· ὅθεν καὶ τὰ πράγματα αὐτῶν δημοσίᾳ παραλαμβάνουσιν ἀλογοθετήτως καὶ ἀζημίως.

Τὰ ὀρφανοτροφεῖα κωνσταντινουπόλεως καὶ ὁ ξενὼν τοῦ σαμψῶ[27]) ἔχουσι τὰ αὐτὰ προνόμια τῆς μεγάλης ἐκκλησίας. ἐξεφωνήθη μηνὶ ἀπριλίῳ ἔτει ιη' μετὰ τὴν ὑπατείαν βελισαρίου ἰνδ. η'.

damnum sustinet, sed haereticus, qui possessionem accepit, ea eiicitur, sive sciverit sive ignoraverit.

26. Orphanotrophi vicem sustinent curatorum et tutorum, et agunt et conveniuntur eorum nomine absque satisdatione. Ita etiam res eorum publice accipiunt, et rationibus reddendis non sunt obnoxii nec periculum suscipiunt.

27. Orphanotrophia Constantinopoleos et xenon Sampsonis eadem privilegia habent, quae magna ecclesia. *Data mense Aprili anno XVIII post consulatum Belisarii ind. 8.*

Νεαρὰ ρλβ'.

Ἴδικτον περὶ αἱρετικῶν.

Πρῶτον εἶναι καὶ μέγιστον ἀγαθόν.

Οἱ αἱρετικοὶ μὴ ποιείτωσαν παρασυνάξεις ἢ παραβαπτίσματα, ἐπεὶ οἱ οἶκοι, ἔνθα τοῦτο ποιοῦσι, προσκυροῦνται τῇ ἐκκλησίᾳ. μέμνησο τῆς λζ' νεαρᾶς καὶ νη'[1]) καὶ ρθ' ὁμοίως νεαρᾶς, καὶ ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. α' διάτ. β' καὶ τί. γ' διάτ. ιε' καὶ τί. ε' διάτ. γ' καὶ ε'. ἐξεφωνήθη μηνὶ μαΐῳ μετὰ τὴν ὑπατείαν βασιλείου τὸ δ'.

Novella CXXXII.

Edictum de haereticis.

Primum esse et maximum bonum.

1. Haeretici ne faciant clandestina conventicula et falsa baptismata: alioquin domus, in quibus hoc faciunt, ecclesiae adiudicantur. Memineris Nov. XXXVII et similiter Nov. LVIII et CIX, et legas lib. I Cod. tit. 1 const. 2 et tit. 3 const. 15 et tit. 5 const. 3 et 5. *Data mense Maio post consulatum Basilii anno IV.*

Νεαρὰ ρλγ'.

Περὶ τοῦ πῶς δεῖ βιοῦν τοὺς μοναχούς.

Ὁ μονήρης βίος.

Μοναχὸς μη ἐχέτω ἰδιάζον κελλίον εἰ μὴ μόνος εἴη ἑνὶ ἢ δευτέρῳ χρώμενος λειτουργῷ τέλειον διαζήσων[1]) βίον. μέμνησο τῆς ε' καὶ ρκγ' νεαρᾶς.

Οἱ ἐν κοινοβίῳ ὄντες κοινῶς διαιτάσθωσαν, καὶ καθευδέτωσαν ἐν ἑνὶ ἢ δύο οἴκοις πρὸς τὸ πλῆθος αὐτῶν.

Οἱ ἰδιάζοντες οἶκοι καθαιρείσθωσαν. μέμνησο τῆς ρκγ' νεαρᾶς.

Μίαν ἢ δευτέραν εἴσοδον ἐχέτωσαν τὰ μοναστήρια.

Οἱ θυρωροὶ τοῦ μοναστηρίου γέροντες ἔστωσαν καὶ μεμαρτυρημένοι, καὶ μηδενὶ συγχωρήσωσιν[2]) ἐξελθεῖν χωρὶς τοῦ ἡγουμένου, οὐ μὴν ἀλλ' οὐδὲ εἰσελθεῖν ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ ἐάτωσαν.

Παράθυρα[3]) τὰ μοναστήρια μὴ ἐχέτωσαν.

Ἐὰν ἐκκλησίαν οὐκ ἔχει τὸ μοναστήριον, ἀπίτωσαν οἱ μοναχοὶ ἅμα τῷ ἡγουμένῳ ἢ τοῖς πρωτεύουσι καὶ γε-

Novella CXXXIII.

Quomodo vivere oporteat monachos.

Singularis vita.

1. Monachus ne habeat separatam cellam, nisi forte solus sit cum uno vel duobus ministris, ut perfectam vitam vivat. Memineris Nov. V et CXXIII.

2. Qui in coenobio sunt, communiter vivant, et dormiant in uno vel duobus aedificiis secundum multitudinem eorum.

3. Separata aedificia tollantur. Memineris Nov. CXXIII.

4. Unum vel duo introitus monasteria habeant.

5. Ostiarii monasterii senes sunto et bona testimonia habentes, nec quemquam exire concedant praeter abbatem, neque vero etiam ingredi noctu aut die sinant.

6. Postica monasteria ne habeant.

7. Si ecclesiam non habeat monasterium, monachi una cum abbate vel primoribus et senioribus

---

τόπῳ τοὺς τοῦ καιροῦ τῆς ἐκδ. καρπούς). Sed quae iis medela adhibenda sit, non satis explicare potui.

26) Sic Bas. Cod. *εἴδη*.

27) Bas. *Σαμψών*. — Malim *σαμψών·* sed videsis *Heimbach* *Ἀν*. I p. 37 not. 98.

1) Cod. *νγ'*.

1) Cod. *διαζήσειν*.

2) Bas. *συγχωρείτωσαν*.

3) Bas. *παράθυρον*.

γηρακόσιν εἰς τὴν ἐκκλησίαν ἐν τῷ καιρῷ τῆς λειτουργίας, καὶ μετὰ τὴν ἀπόλυσιν ἀναχωρείτωσαν πάλιν κοινῶς.

Ἡ τῶν μοναστηρίων ἐκκλησία ἐχέτω δ' ἢ ε' μοναχοὺς γέροντας πολιτείαν ἀσκοῦντας, ὑπὸ χειροτονίαν ὄντας δηλονότι.

Μήτε ἀνὴρ εἰς γυναικῶν μοναστήριον μήτε γυνὴ εἰς ἀνδρῶν μοναστήριον εἰσίτω ζῶσα, μήτε τελευτῶσα θαπτέσθω.

Μοναζούσης ἀποθανούσης ἡ θυρωρὸς καὶ ἡγουμένη παρέστωσαν μόνον τῇ ταφῇ αὐτῆς, ἐὰν θέλωσιν. ἴσθι δέ, ὅτι μετὰ τὴν ἀπόθεσιν τοῦ λειψάνου ἀναχωρεῖν ὀφείλουσιν τοῦ μοναστηρίου οἱ προκομίζοντες· τὰς γὰρ μνήμας τῶν τελευτουσῶν γυναικῶν αἱ γυναῖκες ποιεῖν ὀφείλουσιν.

Ὁ ἡγούμενος ἐποπτευέτω καὶ ἀνορθούτω[4]*) τὰ ἐν τῷ μοναστηρίῳ γενόμενα. καὶ ὁ ἔξαρχος δὲ τῶν μοναχῶν καὶ ὁ ἐπίσκοπος τῶν τόπων*[5]*) ἐπισκέψασθαι*[6]*) ὀφείλει διὰ τῶν ἐκκλησιεκδίκων τὰ μοναστήρια.*

Οἱ τῶν μοναστηρίων ἀποκρισιάριοι γέροντες καὶ ἀπαθεῖς ἔστωσαν.

Αἱ γυναῖκες ἐχέτωσαν τοὺς ἀποκρισιαρίους αὐτῶν[7]*) εὐνούχους ἢ ἄνδρας περὶ πάντα ὄντας τελείους, οἵτινες τὰς ἀποκρίσεις ποιείτωσαν*[8]*). κἂν περὶ μίαν τῶν μοναστριῶν*[9]*) ἀνήκουσι, τῇ ἡγουμένῃ ἀνάγουσι διὰ*[10]*) τῶν θυρωρῶν. μέμνησο τῆς ρκγ' νεαρᾶς.*

Ὁ μέτρια πταίων μοναχὸς νουθετείσθω καὶ καθειργνύσθω[11]*) πρὸς μετάνοιαν· ὁ δὲ*[12]*) ἀδιόρθωτα πταίων ἐκβαλλέσθω τοῦ μοναστηρίου.*

Ὁ εἰς καπηλεῖον εἰσιὼν μοναχὸς τῷ ἐκδίκῳ παραδοθεὶς ἢ τοῖς ἐξάρχοις[13]*) σωφρονιζέσθω καὶ ἐκβαλλέσθω τοῦ μοναστηρίου.*

Τὰ εἰρημένα ἐν τῇ παρούσῃ διατάξει φυλαττέτωσαν οἱ τῶν τόπων ἄρχοντες καὶ οἱ τῶν πραιτωρίων ἔπαρχοι. ἐξεφωνήθη μηνὶ μαρτίῳ ὑπατείᾳ ἀπίονος.

ad ecclesiam tempore liturgiae abeant, et post absolutionem rursus communiter redeant.

8. Monasteriorum ecclesia IV vel V monachos habeat, senes continenter viventes, qui scilicet ordinati sint.

9. Neque vir in mulierum monasterium vel mulier in virorum monasterium viva ingrediatur, neque mortua ibi sepeliatur.

10. Si monacha mortua sit, ostiaria solum et abbatissa sepulturae eius, si voluerint, adsint. Scias autem, post depositionem cadaveris eos, qui id portaverunt, e monasterio exire debere; memorias enim mulierum mortuarum mulieres celebrare debent.

11. Abbas invigilet et corrigat, quae in monasterio fiunt. Et exarchus quoque monachorum et episcopus locorum per ecclesiarum defensores monasteria inspicere debet.

12. Monasteriorum apocrisiarii senes et ab affectibus alieni sunto.

13. Mulieres apocrisiarios habeant eunuchos vel viros per omnia perfectos, qui responsa faciant. Et si propter unam ex monastriis venerint, abbatissae per ostiarias nuntium mittunt. Memineris Nov. CXXIII.

14. Monachus, qui leviter delinquit, admoneatur et recludatur ad poenitentiam; qui vero ita delinquit, ut corrigi non possit, e monasterio eiiciatur.

15. Monachus, qui cauponam ingreditur, defensori traditus vel exarchis puniatur et e monasterio eiiciatur.

16. Quae dicta sunt in praesenti constitutione praesides locorum et praefecti praetorio custodiant. ***Data mense Martio Consule Apione.***

Νεαρὰ ρλδ'.

Περὶ ἀρχόντων, καὶ περὶ μοιχείας, καὶ περὶ τιμωριῶν, καὶ περὶ δανειστῶν.

Τὰ πρὸς ὠφέλειαν τῶν ἡμετέρων ὑπηκόων.

Τοποτηρητὰς μηδεὶς ἄρχων ἐκπεμπέτω μήτε ἐχέτω ἐν ταῖς ἐπαρχίαις, ἐν αἷς ἄρχει. ὁμοίως φησὶν ἡ η' καὶ ιζ' καὶ πς' νεαρά· πλὴν μὴ ἐναντιωθῇ σοι ἡ ριε' νεαρά.

Τὰ κακῶς ἐπινοηθέντα οὔτε χρόνος οὔτε συνήθεια βεβαιοῖ.

Μόνη ἡ ὀσροηνὴ[1]*) καὶ ἡ μεσοποταμία ἐχέτωσαν τοποτηρητὰς τῆς ἐπαρχότητος. ἰστέον, ὅτι δυνατὸν εἶναι*

Novella CXXXIV.

De praesidibus, et de adulterio, et de poenis, et de creditoribus.

Quae ad utilitatem nostrorum subiectorum.

1. Vicarios ne quis praeses mittat vel habeat in provinciis, quibus praeest. Similiter loquitur Nov. VIII et XVII et LXXXVI; nec tibi contraria videatur Nov. CXV.

2. Male excogitata neque tempus neque consuetudo confirmat.

3. Solum Osroëna et Mesopotamia vicarios praefecturae habeant. Sciendum, vicarium praefectorum

---

4) Bas. *ἐπανορθ.*
5) Bas. *τοῦ τόπου.*
6) Bas. *ἐπισκέπτεσθαι.*
7) Deest in Basil.
8) Bas. *οἳ καὶ τὰς ἀποκρίσεις ποιήσαιεν καὶ τὴν ἄῤῥητον αὐταῖς διαδώσουσι κοινωνίαν, ἡνίκα τούτου καιρός.* Nempe ex textu Nov. 133 c. 5 haec addita sunt.
9) Cod. *μοναστηρίων.*
10) Bas. *ἀνάξουσι περί.*
11) Bas. *καθειργνύσθω.* Cod. *κατηρτείσθω.*
12) Deest in Bas.
13) Cod. *ἐπάρχοις.*
1) Cod.: *ἠσροϊνή.*

τοποτηρητὴν τῶν ἐπάρχων καὶ ἐν ἄλλῳ τόπῳ χάριν τῆς ἀποτροφῆς τοῦ στρατεύματος, κατὰ θείαν μέντοι κέλευσιν. ὁμοίως φησὶν ἡ πς' νεαρά.

Μήτε οἱ στρατιωτικοὶ ἄρχοντες ἐχέτωσαν τοποτηρητὰς μήτε βιοκωλύτας[2]*) μήτε ληστοδιώκτας. πλὴν ἴσθι, ὅτι ἐκ θείας κελεύσεως δύναταί τις τῶν εἰρημένων γίνεσθαι ἐν ἄλλοις τόποις. μέμνησο τῆς η' καὶ ρκη' νεαρᾶς.*

Τοῦ ἀπόντος ἄρχοντος δύναται τοποτηρητὴς ἐμβληθῆναι· δηλονότι ὁ ἔκδικος μόνος, κατὰ τὴν ιε' νεαράν. μέμνησο τῆς πς' ὁμοίως νεαρᾶς.

Μηδὲ ἐκ θείας κελεύσεως περινοστείτω [ὁ] ἄρχων[3]*) τὴν ἐπαρχίαν, εἰς ἣν ἄρχει, χωρὶς ἀναγκαίας αἰτίας. τότε γὰρ καλῶς ἐκδημεῖ, δαπανῶν οἴκοθεν αὐτός τε καὶ οἱ περὶ αὐτόν, μὴ ἀγγαρεύοντες μήτε ζημίαν ἢ συνήθειαν ἐπινοοῦντες. ὁμοίως φησὶν ἡ ιζ' νεαρά.*

Ὁ ποιῶν τοποτηρητὴν παρὰ τὰ εἰρημένα κ' λίτρας χρυσίου προστιμᾶται ἐκπίπτων τῆς αὐτοῦ ζώνης· ὁ δὲ γενόμενος στερεῖται τῆς αὐτοῦ περιουσίας ἐξοριζόμενος. ὁμοίως φησὶν ἡ η' νεαρά. ἀνάγνωθι βι. α' τοῦ κώδ. τι. ν' διάτ. α'. μέμνησο τῆς ρκη' νεαρᾶς.

Βιοκωλύτην ἢ ληστοδιώκτην μὴ δεχέσθωσαν οἱ ἐπίσκοποι ἢ οἱ ἄρχοντες ἢ οἱ κτήτορες, δηλονότι χωρὶς θείας κελεύσεως κατὰ τὸ ἄνω λεχθέν· καὶ μέμνησο τῆς ρκη' νεαρᾶς.

Μὴ ἐχέτω ὄνομα τοποτηρητοῦ οἱοσδήποτε πεμπόμενος ἐν ἐπαρχίᾳ διὰ δημόσια ἢ ἄλλο πρᾶγμα, ἀλλὰ πληρούτω ἀζημίως τὴν χρείαν, δι' ἣν ἐπέμφθη, [ἀμύνοντος αὐτῷ][4]*) τοῦ ἄρχοντος ἢ τῆς τάξεως, κἂν κατὰ τοῦ ἄρχοντος ἐπιφέρεται κέλευσιν.*

Ἀνυέτω ὁ ἄρχων τὰ δημόσια καὶ φροντιζέτω τῆς καταστάσεως τῶν τόπων καὶ πᾶσαν ἀδικίαν ἐκκοπτέτω. ὅμοιόν φησιν ἡ η' νεαρά. ἀνάγνωθι βι. α' τοῦ κώδ. τι. μ' διάτ. ζ' καὶ ι'.

[Μὴ][5]*) ἐναντιούσθωσαν οἱ ἄρχοντες τοῖς* VINDIξι *περὶ τὰς τῶν δημοσίων εἰσπράξεις.*

Ἐξεταζέτωσαν οἱ ἄρχοντες τὰς ὀφειλούσας παρ' αὐτοῖς γυμνάζεσθαι δίκας χρηματικάς τε καὶ ἐγκληματικάς.

Κινδυνευέτω ὁ ἄρχων περὶ τὴν ἀπαίτησιν τῶν ἀνηκόντων δημοσίων τῆς ἐπαρχίας[6]*) καὶ τοῖς λαργιτιῶσι καὶ τῷ κόμητι τῶν πριβάτων, καὶ καταστησάτω περὶ αὐτῶν ἀσφάλειαν ὡς ὑπόκειται ἐν τῇ ι' διατάξει*[7]*), ἐὰν ἄλλοι περὶ αὐτῶν οὐ κινδυνεύουσιν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τι. μ' διάτ. ι' καὶ βι. ι' τι. κγ' διάτ. β', καὶ μέμνησο τῆς η' νεαρᾶς.*

Ἐάν τις πολιτικὸς ἢ στρατιωτικὸς ἄρχων ἢ οἱοσδήποτε τῆς τάξεως αὐτῶν κωλύσῃ διαθήκην γενέσθαι ἢ ἐμφανισθῆναι ἢ γάμον προελθεῖν ἢ γαμικὰς δωρεὰς πραχθῆναι ἢ τοὺς τελευτῶντας ταφῆναι, ἢ ἄλλο τοιοῦτον ἐμποδίσει γενέσθαι, ἢ ὑπουργήσει τῷ ταῦτα τολ-

etiam in alio loco constitui posse propter victum militum, scilicet ex divina iussione. Similiter loquitur Nov. LXXXVI.

4. Ne militares quidem magistratus vicarios habeant vel biocolytas vel latronum persecutores. Sed scias, ex divina iussione posse aliquem ex praedictis in aliis locis constitui. Memineris Nov. VIII et CXXVIII.

5. Praesidis absentis vicarius constitui potest: scilicet defensor tantum, secundum Nov. XV. Memineris Nov. LXXXVI similiter.

6. Ne ex sacra quidem iussione praeses circumeat provinciam, cui praeest, absque necessaria causa. Tunc enim recte peregre proficiscitur, sed ita ut ex propriis ipse et, qui circa eum sunt, sumtus faciant, nec angarias exigant vel damnum consuetudinemve imponant. Similiter loquitur Nov. XVII.

7. Qui adversus dicta vicarium constituit, XX libris auri mulctatur et cingulo suo privatur; qui autem constitutus est, substantia sua privatur et relegatur. Similiter loquitur Nov. VIII. Lege lib. I Cod. tit. 50 const. 1. Memineris Nov. CXXVIII.

8. Biocolytam aut latronum persecutorem ne recipiant episcopi vel praesides vel possessores, nimirum absque divina iussione secundum id, quod supra dictum est; memineris Nov. CXXVIII.

9. Ne habeat nomen vicarii, quicunque in provinciam mittitur propter publica vel aliam causam, sed absque cuiusquam dispendio negotium, propter quod missus est, impleat, auxilium ei ferente praeside aut officio, si vel adversus praesidem iussionem afferat.

10. Praeses publica exigat, et tranquillitatis locorum curam gerat, omnemque iniuriam reprimat. Simile dicit Nov. VIII. Lege lib. I Cod. tit. 40 const. 7 et 10.

11. Praesides ne adversentur vindicibus in publicorum exactionibus.

12. Praesides causas tam civiles quam criminales examinent, quae apud ipsos exerceri debent.

13. Praeses periclitetur circa exactionem tributorum provinciae, quae tum largitionibus tum comiti rerum privatarum competunt, et cautionem propter ea exponat, sicuti subiectum est in const. X, si quidem alii circa illa non periclitantur. Legas lib. I Cod. tit. 40 const. 10 et lib. X tit. 23 const. 2, et memineris Nov VIII.

14. Si quis civilis vel militaris magistratus vel quis ex officio eorum testamentum fieri vel insinuari prohibuerit vel nuptias celebrari vel nuptiales donationes confici vel mortuos sepeliri, vel aliud huiusmodi fieri impediverit, vel ei, qui haec conatus fuerit,

---

2) Cod. *βιοσκωλύτας*. Certe *βιασκ.* scribendum erat.

3) Cod. *περινοστεύτῶ ἄρχον*.

4) Quae uncis inclusa sunt, ex *Athanasii* IV, 22 (*Heimb. Ἀν.* I p. 62) desumsi. Codex enim *μηνύοντος αὐτὸν* habet, quod ferri nequaquam poterat.

5) In Codice est *Ἐναντιούσθωσαν* sine negatione. Perperam: nam in Nov. 134 cap. 2 sic est: „*εἰ δὲ ἐν ταῖς ἐπαρχίαις ἢ βίνδικες ἢ ἐκλήπτορές εἰσι τῶν δημοσίων καὶ δεηθῶσί τινος βοηθείας, κελεύομεν τοὺς ἄρχοντας τῶν ἐπαρχιῶν καὶ τὰς τάξεις αὐτῶν πᾶσαν συνάρμοσιν καὶ σπουδὴν αὐτοῖς συνεισάγειν*;“ et *Athanasius* l. l. „*ἀμυνέτω τοῖς πράττουσι τὰ δημόσια.*“

6) Legendum videtur: *τῇ ἐπαρχότητι*. Coll. Nov. 134 cap. 2 „*τῇ τε ἐπαρχότησι καὶ ταῖς ἡμετέραις λαργιτίωσιν ἤγουν ὑπεροχαῖςφκαὶ τῷ κόμητι τῶν πριβάτων*,“ et *Athanasio* l. l.

7) Quem locum et cur hunc locum afferat *Theodorus*, non satis expedire potui.

μῶντι, τῆς ζώνης ἐκπίπτει καὶ ἐξορίζεται, οὐ μὴν ἀλλὰ καὶ ἐν διπλῷ δίδωσι τὰς ζημίας τοῖς ἀδικηθεῖσιν. κωλυέτωσαν γοῦν οἱ ἐπίσκοποι καὶ οἱ πρωτεύοντες τὰ τοιαῦτα καὶ μηνυέτωσαν περὶ αὐτῶν βασιλεῖ. ἀνάγνωθι περὶ μὲν τοῦ ἐμποδίσαι διαθήκην βι. ϛ΄ τοῦ κώδ. τί. λδ΄ διάτ. α΄ καὶ δ΄, περὶ δὲ τοῦ μὴ ταφῆναι τοὺς τελευτῶντας ἀνάγνωθι βι. θ΄ τοῦ κώδ. τί. ιθ΄ διάτ. α΄ καὶ δ΄ καὶ διάτ. τελευταίαν[8]) [*καὶ*] *νεαρὰν ριε΄, καὶ μέμνησο τῆς ξ΄ ὁμοίως νεαρᾶς.*

Πᾶς ἄρχων δεχέσθω τὰς ἐγκλήτους καὶ ἐκδιδότω τὰ πεπραγμένα τοῖς μέρεσιν, καὶ μὴ ἐπαγέτω ἤτοι ἀπαιτείτω ἐκβιβασμόν, μήτε πεμπέτω τινὰ ἐπὶ νομῆς μέχρι κρίσεως τῆς ἐγκλήτου. ἀνάγνωθι βι. ζ΄ τοῦ κώδ. τί. ξβ΄ διάτ. γ΄ καὶ ϛ΄ καὶ ιθ΄ καὶ κδ΄, καὶ μέμνησο τῆς πβ΄ νεαρᾶς.

Ἐγκλήματος πλημμεληθέντος μὴ κατεχέσθω ἄλλος ἀντὶ ἄλλου ἢ ἐνεχυριαζέσθω ἢ ζημιούσθω, ἀλλ᾽ ὁ ἁμαρτήσας τιμωρείσθω· καὶ μὴ διαλυέσθω δόσει χρημάτων τὸ ἔγκλημα, μηδὲ λαμβανέτω ὁ ἄρχων πράγματα τοῦ κατηγορουμένου ἢ ἄλλου τινὸς[9]) *τῶν διαφερόντων αὐτῷ· ἐπεὶ ὁ μὲν ἄρχων τούτων ἀνεχόμενος καὶ ὁ σύνεδρος αὐτοῦ συναινέσας ἐγγράφως αὐτῷ ἐπιγνώσονται πᾶσαν τὴν ζημίαν τοῖς ἠδικημένοις καὶ ἐξορίζονται τιμωρούμενοι, οἱ δὲ ἐκ τῆς τάξεως ἢ ἄλλοι διὰ κέρδος ὑπουργήσαντες ταῖς εἰρημέναις ποιναῖς ὑπόκεινται. ἀνάγνωθι βι. θ΄ τοῦ κώδ. τί. μζ΄ διάτ. κβ΄, καὶ μέμνησο τῆς νβ΄ καὶ ϟζ΄ νεαρᾶς.*

Ἐὰν ὁ ἐγκληματικῶς ἐνεχόμενος φυγὼν κληθῇ διατάγματι καὶ μὴ ὑπακούσῃ, καταδικάζεται· εἰ δὲ ἐν ἄλλῃ ἐπαρχίᾳ διάγῃ, γινέσθω δημοσία ἐπιστολὴ καὶ πεμπέσθω ἔνθα ἐστίν. εἰ δὲ μὴ παραπεμφθῇ, ἔνθα ἐστί, κατὰ προδοσίαν ἢ ῥαθυμίαν τοῦ ἄρχοντος ἢ τῆς τάξεως, ἀνὰ γ΄ λιτρῶν χρυσίου ζημιοῦνται πρὸς τὸ καὶ τὸν ἄρχοντα ἐκπίπτειν τῆς ἰδίας ζώνης καὶ ἐξορίζεσθαι. ἀνάγνωθι βι. θ΄ τοῦ κώδ. τί. β΄ διάτ. ϛ΄ καὶ τί. μ΄ διάτ. α΄, καὶ μέμνησο τῆς νγ΄ καὶ ξε΄ καὶ ξθ΄ νεαρᾶς.

Ἐὰν ὁ ἄρχων δεξάμενος θείας κελεύσεις διαδεχθῇ πρὸ τοῦ πληρῶσαι[10]) *αὐτάς, ὁ μετ᾽ αὐτὸν ἄρχων πληρούτω αὐτάς. εἰ δὲ βλάπτωσι τὸν δημόσιον, μηνύσει καὶ ἀναμεινάτω δευτέραν κέλευσιν. ἐπὶ δὲ προστάξεων δεῖ παρατηρεῖσθαι τὸ τῶν διαδόχων, καὶ μὴ προσδέχεσθαι τὰς παρανόμους ἢ βλαπτούσας τὸν δημόσιον κελεύσεις. ἀνάγνωθι βι. α΄ τοῦ κώδ. τί. κβ΄ διάτ. ϛ΄, καὶ σημείωσαι ἐκ τῆς προκειμένης νεαρᾶς, ὅτι τὰ παρανόμως γινόμενα ἀντὶ μὴ γενομένων εἰσίν.*

Ἐάν τις τῶν δανειστῶν[11]) *κατασχῇ*[12]) *τὰ τέκνα τῶν ἰδίων χρεωστῶν εἰς ἐνέχυρον ἢ εἰς*[13]) *δουλικὴν ὑπηρεσίαν, ἐκπιπτέτω τοῦ ἡμίσεως*[14]) *ἢ καὶ παντὸς τοῦ χρέους καὶ καταδικαζέσθω ἄλλην τοσαύτην ποσότητα ἐκείνῳ, ὃν κρατεῖ*[15]), *ἢ τοῖς γονεῦσιν αὐτοῦ*[16]) *καὶ σωματικῶς τιμωρείσθω. ἀνάγνωθι βι. δ΄ τοῦ κώδ. τί.*

opem tulerit, cingulo privatur et relegatur, nec non in duplo damnum resarcit iis, qui iniuriam passi sunt. Episcopi igitur et primores haec impediant et ad imperatorem de iis referant. Legas de eo, qui testamentum fieri prohibeat, lib. VI Cod. tit. 34 const. 1 et 4, et de eo, qui mortuos sepeliri prohibeat, legas lib. IX Cod. tit. 19 const. 1 et 4 et const. ultimam et Nov. CXV, et memineris similiter Nov. LX.

15. Omnis praeses appellationes recipiat et acta partibus edat, nec executionem inducat sive faciat, nec in possessionem aliquem mittat, donec appellatio diiudicata fuerit. Legas lib. VII Cod. tit. 62 const. 3 et 6 et 19 et 24, et memineris Nov. LXXXII.

16. Si crimen commissum sit, alius pro alio ne detineatur vel pignora dare cogatur vel mulctetur, sed puniatur, qui deliquerit; neve remittatur crimen data pecunia, neve res accusati vel alicuius ex propinquis eius praeses accipiat: alioquin praeses, qui haec fieri passus sit, et assessor eius, qui illi in scriptis consenserit, omne damnum, quod laesis obvenit, resarcient, et puniti relegantur, officiales vero vel alii propter lucrum opem ferentes poenis statutis subiacent. Legas lib. IX Cod. tit. 47 const. 22, et memineris Nov. LII et XCVII.

17. Si, qui crimini obnoxius est, fugerit, et edicto vocatus non obtemperaverit, condemnatur; quodsi in alia provincia degat, publica epistola scribatur et mittatur [in provinciam], ubi degit. Si vero illinc, ubi degit, non fuerit transmissus proditione vel negligentia praesidis vel officii, III libris auri mulctantur, et praeses cingulo suo excidit et relegatur. Legas lib. IX Cod. tit. 2 const. 6 et tit. 40 const. 1, et memineris Nov. LIII et LXV et LXIX.

18. Si praeses acceptis divinis iussionibus successorem habuerit antequam illas implere potuerit, qui post eum praeses fit, illas impleat. Si vero fiscum laedant, ad imperatorem referat, et exspectet secundam iussionem. In mandatis etiam successionem observari oportet, neque tamen recipi mandata contra leges facta vel fisco nocentia. Lege lib. I Cod. tit. 22 const. 6, et nota ex praesenti Novella, ea, quae contra leges fiant, pro non factis haberi.

19. Si quis creditorum liberos debitorum suorum tanquam pignus detinuerit vel ad servile ministerium, dimidia parte vel etiam integro debito excidat, et condemnetur in alterum tantum ei, quem detinet, vel parentibus eius, et corporaliter puniatur. Legas

---

8) Codex haec sic effert: *ἀνάγν. περὶ μὲν τοῦ ἐμπ. διαθήκην βι. ϛ΄ τοῦ κώδ. τί. λδ΄ διάτ. α΄ καὶ δ΄, καὶ βι. θ΄ τοῦ κώδ. τί. ιθ΄ διάτ. α΄ καὶ δ΄ καὶ βι. θ΄ διάτ. τελευταίαν, περὶ δὲ τοῦ μὴ ταφ. τοὺς τελ. ἀνάγνωθι νεαράν ριε΄ κ. τ. λ.* Omnino corrupte; ego an recte emendaverim, tu ipse videas.

9) Malim: *ἢ ἄλλος τις τῶν διαφερόντων αὐτῷ*, scil. *τῷ ἄρχοντι*. Nov. 134 cap. 4: „*κέρδος ἐκ τούτου τοῖς ἄρχουσιν ἢ τοῖς αὐτῶν ἀνθρώποις ἤγουν τάξεσι γίνεσθαι οὐδαμῶς συγχωροῦμεν.* — Apud *Athanasium* IV, 22 haec desunt: nempe integrum folium in Codice Parisiensi, ex quo *Athanasius* editus est, hoc loco excidisse videtur.

10) Cod. *πληρώσει.*

11) Bas. *ἐὰν δανειστής.*

12) Bodl. *κατέχῃ.*

13) Deest in Bodl.

14) Bas. *ἡμίσους.*

15) Bodl. *ἐκείνοις οἷς κρατεῖ.*

16) Bodl. *αὐτῶν.*

ι' διάτ. ιβ' καὶ τί. μγ' διάτ. α' καὶ βι. η' τί. ις' διάτ. ς', καὶ μέμνησο τῆς β' νεαρᾶς.

Συναινοῦσα γυνὴ δανειζομένου τοῦ ἀνδρὸς αὐτῆς[17]) καὶ ὑποτιθεμένη τὰ ἴδια οὐ κατέχεται, κἂν πολλάκις τοῦτο ποιήσῃ ἐπὶ τῷ αὐτῷ συναλλάγματι, εἰ μὴ ἄρα δειχθῇ τὰ δανεισθέντα προχωρήσαντα[18]) εἰς πρᾶγμα[19]) αὐτῆς. ἀνάγνωθι βι. δ' τοῦ κώδ. τί. ιβ' διάτ. α' καὶ τί. ξε' διάτ. κδ'.

Γυνη μη ἐγκλειέσθω μηδὲ φυλαττέσθω ἐπὶ οἱᾳδήποτε αἰτίᾳ χρηματικῇ, ἀλλὰ νομίμως ἀποκρινέσθω δι' οἵου δ' ἂν βουληθῇ. εἰ δὲ παρὰ ταῦτα γένηται, ὁ μὲν μείζων ἄρχων κ' λίτρας χρυσίου προστιμᾶται, ὁ δὲ ἥττων ι' λίτρας διδότω, καὶ οἱ ὑπουργοῦντες αὐτοῖς ἐκπίπτουσι τῆς ζώνης αὐτῶν ὑποκείμενοι ἐξορίᾳ καὶ βασάνοις. εἰ δὲ ἡ γυνὴ μὴ προβάλλεται ἐντολέα, εἰ καὶ καταδικασθῇ, μηδὲ οὕτως ἐγκλειέσθω μηδὲ φυλαττέσθω, ἀλλὰ προϊέτω τὰ νόμιμα ἐπὶ τοῖς πράγμασιν αὐτῆς. ἐὰν δὲ ἐγκληματικῶς ἐνάγεται, διδότω ἐγγυὰς προσώπου, ἢ ὀμνύουσα μὴ εὐπορεῖν ἐγγυῶν ποιείτω ἐξωμοσίαν περὶ τῆς προσεδρείας· εἰ δὲ βαρύτατον εἴη τὸ ἔγκλημα, παραδιδόσθω γυναιξὶ πρὸς φυλακὴν ἢ ἀσκητηρίῳ ἢ μοναστηρίῳ μέχρι τῆς τοῦ πράγματος ἀποκαλύψεως, καὶ προβαινέτω ἐπ' αὐτῇ τὰ τοῖς νόμοις δοκοῦντα. οὐδεμίαν γὰρ γυναῖκα ὑπὲρ χρηματικῆς αἰτίας ἢ ὑπὲρ ἐγκληματικῆς οἱασδήποτε εἰς φρουρὰν βάλλεσθαι συγχωροῦμεν.

Μονάστρια ἢ ἀσκήτρια μὴ ἀφελκέσθω τῶν ἰδίων τόπων ἐπὶ οἱᾳδήποτε αἰτίᾳ.

Μοιχείας ἀποδειχθείσης ὁ μὲν μοιχὸς καὶ ὁ ὑπουργήσας αὐτῷ ὑφιστάσθωσαν τὰς νομίμους ποινάς, καὶ ἐὰν ἔχῃ ὁ μοιχὸς γαμετήν, περισωζέσθω αὐτῇ ἐκ τῆς ὑποστάσεως αὐτοῦ ἡ προῖξ καὶ τὰ ἕδνα, εἰ δὲ ἄπροικος εἴη, λαμβανέτω τὸ δ' τῆς οὐσίας αὐτοῦ, καὶ τὰ ὑπόλοιπα πράγματα διαιρείσθω εἰς τοὺς κατιόντας καὶ ἀνιόντας αὐτοῦ ἕως γ' βαθμοῦ, εἰ δὲ οὐκ ἔχει τινά, προσκυρούσθω τῷ FISCῳ. μέμνησο τῆς ριζ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. θ' τοῦ κώδ. τί. θ'.

Ἐὰν μοιχευθῇ γυνή, σωφρονιζέσθω καὶ ἐμβαλλέσθω εἰς μοναστήριον. πλὴν ἐξέστω τῷ ἀνδρὶ αὐτῆς, εἰ βούλοιτο, εἴσω β' ἐτῶν ἀναλαβεῖν αὐτήν· μετὰ γὰρ τὰ β' ἔτη κουρεύεται αὐτὴ ἡ γυνὴ καὶ μένει μέχρι τελευτῆς εἰς τὸ μοναστήριον· καὶ οἱ μὲν κατιόντες τὸ δίμοιρον τῆς οὐσίας αὐτῆς λαμβάνουσι, τὸ δὲ ἄλλο τρίτον προσκυροῦται τῷ μοναστηρίῳ.

Εἰ δὲ κατιόντας οὐκ ἔχει ἀλλὰ μόνον ἀνιόντας, λαμβανέτωσαν γ' μέρος τῆς οὐσίας αὐτῆς· εἰ μὴ ἄρα συνῄνεσαν καὶ αὐτοὶ τῷ πλημμεληθέντι. τότε γὰρ πᾶσα οὐσία αὐτῆς δίδοται τῷ μοναστηρίῳ, φυλαττομένων μέντοιγε τῶν ἐν ταῖς προιξὶ συμφώνων. σημείωσαι οὖν τὴν διαφοράν. ὅτι οὐ κερδαίνει πᾶσαν τὴν προῖκα ὁ ἀνὴρ μοιχευθείσης τῆς γυναικός· καίτοι ἔγνωμεν πρὸ ὀλίγου, ὅτι μοιχοῦ δεικνυμένου τοῦ ἀνδρός, κερδαίνει ἡ γυνὴ πάντα τὰ ἕδνα.

Ἐαν REPUDιον γένηται ἐπί[20]) *τινι αἰτίᾳ μὴ φερομένη ταῖς διαταγαῖς*[21]), κακῶς μὲν γίνεται, πλὴν ἔῤῥωται· ἀλλὰ δηλονότι ἀπόλλυσι τὰ ἐπιδοθέντα ὁ ἀλόγως

lib. IV Cod. tit. 10 const. 12 et tit. 43 const. 1 et lib. VIII tit. 16 const. 6, et memineris Nov. II.

20. Si mulier, quum vir eius mutuam pecuniam sumat, consentiat et bona sua obliget, non tenetur, licet id saepius in eodem contractu fecerit, nisi forte probetur, pecuniam creditam in rem eius versam esse. Lege lib. IV Cod. tit. 12 const. 1 et tit. 65 const. 24.

21. Mulier ne includatur vel custodiatur in quaquam pecuniaria causa, sed legitime defendatur, per quem voluerit. Si quid adversus haec fiat, maior quidem magistratus XX libris auri mulctatur, minor autem X libras persolvit, et qui iis ministerium praebent, cingulo suo excidunt et relegationi tormentisque subiacent. Sin autem mulier defensorem non exhibuerit, si vel condemnetur, neque sic includatur neque custodiatur, sed legitima executio in bona eius procedat. Si vero criminaliter conveniatur, fideiussores det, vel, si iuraverit copiam fideiussorum sibi non esse, iuratoriam cautionem iudicio sisti exponat; si tamen gravissimum sit crimen, mulieribus ad custodiam tradatur vel asceterio vel monasterio usque ad rei manifestationem, et procedant super ipsa legum praecepta. Nullam enim feminam ob pecuniariam vel criminalem quamlibet causam in carcerem coniici permittimus.

22. Monacha vel ascetria ne abstrahatur a locis suis ob quamcunque causam.

23. Si adulterium probatum fuerit, adulter et, qui ei opem tulit, legitimas poenas subeant, et, si adulter uxorem habeat, servetur illi ex substantia eius dos et propter nuptias donatio: si vero indotata sit, quartam partem substantiae eius accipiat, et reliqua bona inter descendentes et ascendentes eius usque ad tertium gradum dividantur; si vero nullos habeat, fisco adiudicentur. Memineris Nov. CXVII, et legas lib. IX Cod. tit. 9.

24. Si mulier adulterium commiserit, castigetur et in monasterium coniiciatur. Sed liceat marito eius, si voluerit, intra biennium eam recipere: post II annos enim haec mulier tondetur et usque ad mortem in monasterio manet; et descendentes quidem bessem substantiae eius accipiunt, triens autem monasterio addicitur.

25. Quodsi descendentes non habeat, sed ascendentes tantum, tertiam partem substantiae eius accipiant; nisi forte et ipsi in crimen consenserint. Tunc enim omnis substantia monasterio datur, servandis tamen his, quae circa dotem convenerint. Nota igitur differentiam: virum non lucrari universam dotem, si mulier adulterium commiserit, quamquam paulo ante cognovimus, mulierem, si vir adulter esse probatus fuerit, integram propter nuptias donationem lucrari.

26. Si repudium factum sit ob causam constitutionibus non comprehensam, perperam quidem fit, attamen valet: sed amittit scilicet, quae data sunt,

---

17) Bas. *δανειζομένῳ τῷ ἀνδρὶ αὐτῆς.*
18) Bas. *προχωρηθῆναι.*
19) Bas. *πράγματα.*

20) Cod. *ἐν.* Ego Basil. sequi malui.
21) Bas. rectius fortasse: *μὴ εἰρημένη ταῖς διαταξεσι.*

REPUDIATευσας. μέμνησο γὰρ[22]) τῶν εἰρημένων ἐν τῷ ιζ' τί. τοῦ ε' βι. τοῦ κώδικος καὶ τῶν ἐν τῇ κβ' καὶ τῇ ριζ' νεαρᾷ.

Κατὰ συναίνεσιν γάμος οὐ λύεται. τοῦτο ἀναιρεῖ ἡ ρμ' νεαρά.

Οὔτε ἀνὴρ οὔτε γυνὴ δύνανται παραχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα.

Ὁ συναινέσει λύων τὸν[23]) γάμον παραχωρείτω τὴν ἰδίαν οὐσίαν τοῖς κατιοῦσιν αὐτοῦ, καὶ βληθῇ[24]) εἰς μοναστήριον αὐτός τε καὶ ἡ γυνὴ αὐτοῦ ἕως τελευτῆς[25]), καὶ διδόσθω τὸ γ' τῆς οὐσίας[26]) ἑκάστου αὐτῶν τοῖς μοναστηρίοις, καὶ μὴ ἐχέτω ὁ ἀνὴρ τὴν χρῆσιν τοῦ διδομένου[27]) τοῖς παισίν. εἰ δὲ κατιόντας οὐκ ἔχει, ἀλλὰ μόνον ἀνιόντας, αὐτοὶ μὲν[28]) τὸ γ'[29]) τῆς οὐσίας αὐτοῦ λαμβανέτωσαν, εἰ μὴ ἄρα καὶ αὐτοὶ τῇ λύσει[30]) τοῦ γάμου συνῄνεσαν, τὸ δὲ ἄλλο δίμοιρον τῷ μοναστηρίῳ[31]) διδόσθω.

Ἐὰν δὲ μὴ ὕπεισι κατιόντες ἢ ἀνιόντες, ἢ ἐὰν μὲν εἰσὶν ἀνιόντες, συνῄνεσαν δὲ τῇ λύσει τοῦ γάμου[32]), τότε προσκυρούσθω τῷ μοναστηρίῳ πᾶσα ἡ οὐσία τοῦ λύσαντος τὸν γάμον, καὶ οἱ ὑπουργοῦντες τῇ τοιαύτῃ τοῦ γάμου λύσει[33]), κἂν συμβολαιογράφοι εἰσί[34]), σωματικῶς τιμωροῦνται καὶ ἐξορίζονται[35]). πλὴν ἴσθι, ὡς δύνανται[36]) οἱ συναινέσει τὸν γάμον λύσαντες συνάπτεσθαι ἀλλήλοις ἐκ μεταμέλου πρὸ τοῦ βληθῆναι[37]) εἰς τὰ μοναστήρια, καὶ οὐδὲ ποινὴν ὑφίστανται[38]).

Ἐὰν δὲ ὁ εἷς[39]) συναινέσῃ τῇ ἀνακλήσει[40]) τοῦ γάμου, ὁ δὲ ἄλλος μὴ συναινέσῃ, τότε ὁ μὴ συναινέσας ὑπόκειται ταῖς εἰρημέναις ποιναῖς. ἰστέον δέ, ὅτι εἰ μὴ φυλάξωσι τὰ λεχθέντα[41]) οἱ ἄρχοντες καὶ αἱ τάξεις αὐτῶν[42]), ἐξορίᾳ καὶ δημεύσει ὑπόκεινται· προνοίᾳ δὲ τῶν ἐπισκόπων τὰ τοιαῦτα πρόσωπα διδόσθωσαν τοῖς μοναστηρίοις μετὰ τοῦ ὁρισθέντος ἐκ τῆς οὐσίας αὐτῶν ποσοῦ. μέμνησο τῆς ριζ' νεαρᾶς[43]), καὶ ἴσθι, ὅτι τὰ εἰρημένα ἅπαντα ταῦτα[44]) σήμερον οὐ προβαίνει· ὡς γὰρ προεῖπόν σοι[45]), κελεύει ἡ ρμ' νεαρά, ἀζημίως καὶ[46]) συναινέσει τοὺς γάμους λύεσθαι.

Ὁ κατηγορηθεὶς ἐπὶ μοιχείᾳ εἰ δυνηθῇ φυγεῖν τὰς κατὰ τῶν μοιχῶν ποινάς, καὶ μετὰ ταῦτα συνευρεθῇ πάλιν τῇ μοιχευθείσῃ ἢ λάβῃ αὐτὴν εἰς γάμον, κἂν ὁ ἀνὴρ αὐτῆς ἐτελεύτησεν, συνέχεται ὑπὸ παντὸς δικαστοῦ καὶ ἐσχάτως τιμωρεῖται, μὴ γινομένης χρείας ἑτέρας κατηγορίας ἢ ἀποδείξεως· ἡ δὲ γυνὴ κρατηθεῖσα βάλλεται εἰς μοναστήριον μέχρι τελευτῆς, καὶ ἡ οὐσία τῶν δύο διαιρεῖται κατὰ τὰ ἄνω λεχθέντα κινδύνῳ τοῦ κόμιτος τῶν PRIBATων καὶ τῶν λοιπῶν ἀρχόντων. σημείωσαι δέ, ὅτι τὸ γενόμενον συνοικέσιον μεταξὺ τοιούτων οὐ

is, qui sine causa repudium misit. Memineris eorum, quae dicta sunt in tit. 17 lib. V Codicis et in Nov. XXII et CXVII.

27. Consensu matrimonium non solvitur. Hoc tollit Nov. CXL.

28. Neque vir neque uxor delicta sibi invicem remittere possunt.

29. Qui consensu matrimonium solvit, substantiam suam descendentibus suis cedat, et in monasterium ipse cum uxore sua ad mortem usque coniiciatur, et tertia pars substantiae uniuscuiusque eorum monasteriis detur, nec vir usumfructum eius, quod liberis datur, habeat. Si vero descendentes non habeat, sed ascendentes tantum, hi quidem tertiam partem substantiae eius accipiant, nisi forte et ipsi solutioni matrimonii consenserint, reliquus vero bes monasterio detur.

30. Si vero non subsint descendentes vel ascendentes, vel sint quidem ascendentes, sed solutioni matrimonii consenserint, tunc monasterio adiudicetur omnis substantia eius, qui matrimonium solvit, et qui eiusmodi solutioni matrimonii auxilium tulerunt, si vel tabelliones sint, corporaliter puniuntur et relegantur. Sed scias, eos, qui matrimonium consensu solverunt, sibi invicem copulari posse ex poenitentia antequam in monasteria coniiciantur, nec poenam sustinere.

31. Sin autem alter consenserit revocationi matrimonii, alter vero non consenserit, tunc is, qui non consensit, dictis poenis subiacet. Sciendum autem est, praesides eorumque cohortes, si haec non observaverint, relegationi et publicationi subiacere; cura autem episcoporum eiusmodi personae monasteriis tradantur cum definita quantitate ex substantia eorum. Memineris Nov. CXVII, et scias, haec omnia, quae dicta sunt, hodie non obtinere; nam, sicuti antea tibi dixi, Nov. CXL sancit, etiam consensu matrimonia impune dissolvi.

32. Qui ob adulterium accusatus est, si potuerit effugere poenas in adulteros statutas, et postea rursus inventus sit cum adultera vel eam uxorem duxerit, licet vir eius defunctus sit, a quolibet iudice continetur et ultimo supplicio afficitur, ut nulla alia accusatione vel probatione opus sit; mulier autem comprehensa in monasterium coniicitur usque ad mortem, et substantia utriusque secundum supradicta dividitur periculo comitis rerum privatarum et reliquorum magistratuum. Nota vero, coniunctionem inter

---

22) Deest in Basil.
23) Deest in Basil.
24) Bas. *βληθείτω.*
25) Bas. addunt: *αὐτῶν.*
26) Bas.: *καὶ ἀφοριζέσθωσαν τέσσαρες οὐγκίαι ἐκ τῆς οὐσίας.*
27) Bas. *τῶν διδομένων.*
28) Haec verba „*αὐτοὶ μὲν*" in Bas. desunt.
29) Bas. *τὸ τρίτον μέρος.*
30) Bas. *τὴν λύσιν.*
31) Bas. *τῷ δημοσίῳ.* Male.
32) Pro his, quae hactenus habentur, Bas. legunt: *εἰ δὲ μήτε ἀνιόντες μήτε κατιόντες εἶεν.*
33) Bas. *λύσει τοῦ γάμου.*
34) Bas. *καὶ οἱ συμβολ.*
35) Bas. *ταῖς εἰς σῶμα ποιναῖς ὑποβαλλέσθωσαν καὶ εἰς ἐξορίαν πεμπέσθωσαν.*
36) Pro his „*πλὴν — δύνανται*" Bas. sic legunt: *δύνανται δέ.*
37) Cod. *βληθῶσιν*, quod correxi e Basil.
38) Bas. *εἰς τὸ μοναστήριον καὶ οὐδὲ ποιναῖς ὑπόκεινται.*
39) Bas. *εἰ δὲ εἷς μέν.*
40) Bas. *εἰς ἀνάκλησιν.*
41) Bas. *εἰρημένα.*
42) Bas. *οἱ ἐν ἐπαρχίᾳ ὄντες δικασταὶ καὶ ταξεῶται αὐτῶν.*
43) Haec verba: *μέμνησο τῆς ριζ' νεαρᾶς* in Bas. desunt.
44) Bas. *πάντα τὰ εἰρ.*
45) Bas. *ἔμπροσθεν εἶπον.*
46) Bas. *τῇ.*

νοεῖται γάμος. ἀνάγνωθι βι. θ΄ τοῦ κώδ. τί. θ΄ διάτ. θ΄ καὶ ιβ΄ καὶ κς΄.

Μὴ τεμνέσθωσάν τινος αἱ δύο χεῖρες ἢ δύο πόδες διὰ οἱονδήποτε ἁμάρτημα, μήτε μὴν διαλυέσθωσαν τὰ ἄρθρα αὐτῶν. ἀλλ᾽ ἐὰν τὸ ἔγκλημα ἀπαιτεῖ μέλους ἀποκοπήν, μία μόνον χεὶρ ἢ εἷς ποῦς τοῦ πλημμελήσαντος ἀποτεμνέσθω.

Ὁ κλέπτης μήτε μέλους ἀποκοπὴν ὑφιστάσθω μήτε ἀποθνησκέτω. κλέπτης δὲ νοεῖται ὁ λάθρα καὶ χωρὶς ὅπλων ἁμαρτάνων. ὁ γὰρ βίᾳ πλημμελῶν μετὰ ὅπλων ἢ καὶ χωρὶς ὅπλων ἐν οἱφδήποτε τόπῳ τὰς ἀπὸ τῶν νόμων ὑπομενέτω ποινάς.

Ἡ περιουσία τῶν ὑποκειμένων θανάτῳ ἢ δημεύσει διὰ ἔγκλημα τοῖς κατιοῦσιν αὐτῶν[47]*) ἢ τοῖς ἀνιοῦσιν ἁρμόζει μέχρι γ΄ βαθμοῦ. αἱ γὰρ γαμεταὶ αὐτῶν τὰς ἰδίας προῖκας καὶ τὰς προγάμου δωρεὰς λαμβάνουσιν· εἰ δὲ ἄπροικοι ὦσιν, λήψονται τὸ δ΄ τῆς οὐσίας αὐτῶν. ἐὰν δὲ μηδεὶς τῶν εἰρημένων αὐτοῖς ὑπέστη*[48]*), τότε τῷ* FISC*ῳ προσκυροῦται ἡ οὐσία αὐτῶν. ἀνάγνωθι βι. θ΄ τοῦ κώδ. τί. η΄ διάτ. ε΄ καὶ τί. μθ΄ διάτ. η΄, καὶ ἴσθι, ὅτι ἐκαινοτομήθη τὰ ἐκεῖσε λεχθέντα.*

Οἱ ἐπὶ καθοσιώσει κρινόμενοι τοῖς παλαιοῖς ὑποκείσθωσαν νόμοις. τοὺς γὰρ τοιούτους οὐδὲ οἱ παῖδες κληρονομοῦσιν, ἀλλὰ πᾶσα ἡ οὐσία δημεύεται. ἀνάγνωθι βι. θ΄ τοῦ κώδ. τί. η΄ διάτ. ε΄ καὶ τί. μθ΄ διάτ. ι΄. ἐξεφωνήθη μετὰ τὴν ὑπατείαν βασιλείου ις΄ ἔτει τῆς βασιλείας.

huiusmodi personas initam non haberi pro matrimonio. Lege lib. IX Cod. tit. 9 const. 9 et 12 et 26.

33. Ne cui abscindantur ambae manus vel ambo pedes ob quodcunque delictum, neve articuli eorum solvantur; sed si crimen exigat membri abscissionem, una tantum manus vel unus pes delinquentis abscindatur.

34. Fur neque membri abscissionem patiatur neque occidatur. Fur autem esse intelligitur, qui clam et sine armis delictum committit; qui enim vi delictum committit cum armis vel sine armis in quocunque loco, poenas legibus statutas patiatur.

35. Substantia eorum, qui propter crimen morti vel publicationi subiacent, descendentibus eorum vel ascendentibus usque ad tertium gradum competit. Uxores vero eorum dotes suas et antenuptiales donationes accipiunt: quodsi indotatae sint, quartam partem substantiae eorum accipient. Sin autem nemo ex praedictis subsit iis, tunc fisco substantia eorum adiudicatur. Legas lib. IX Cod. tit. 8 const. 5 et tit. 49 const. 8, et scias, innovata esse, quae ibi dicta sunt.

36. Qui maiestatis damnantur, antiquis legibus subiaceant. His enim ne liberi quidem succedunt, sed omnis substantia publicatur. Lege lib. IX Cod. tit. 8 const. 5 et tit. 49 const. 10. *Data post consulatum Basilii XVI anno imperii.*

Νεαρὰ ρλε΄.

Περὶ τοῦ μὴ ἀναγκάζεσθαί τινα ἐξίστασθαι.

Ὅσα[1]*) τὸ θεῖον.*

Οὔτε διὰ ἰδιωτικὸν οὔτε διὰ δημόσιον χρέος ἀναγκάζεταί τις ἐξίστασθαι, ἀλλ᾽ οὐδὲ μὴν αἰκίζεται. ἀλλ᾽ ἐὰν λέγῃ ἀπορεῖν, ὀμνύτω πρὸς τῶν ἁγίων λογίων, ὡς οὐ δύναται ὁποθενδήποτε ἀποπληροῦν τοὺς ἰδίους δανειστάς, καὶ τότε οἱ δανεισταὶ ἐκβιβαζέτωσαν εἰς πρόσωπον αὐτῶν[2]*) τὰς ἁρμοζούσας ἐκείνῳ ἀγωγὰς χωρὶς τῶν πραγμάτων τῆς γαμετῆς αὐτοῦ. τοὺς*[3]*) δὲ μέχρι ψιλῆς ἐννοίας παρασαλεύειν τολμῶντας τὰ νομοθετηθέντα ὑποβάλλει ποινῇ ι΄ χρυσίου λιτρῶν καὶ τοῖς εἰς σωτηρίαν κινδύνοις ἡ παροῦσα διάταξις. ἀνάγνωθι βι. ζ΄ τοῦ κώδ. τί. ζ΄ διάτ. α΄ καὶ β΄ καὶ γ΄ καὶ δ΄ καὶ η΄ καὶ τί. οβ΄ διάτ. γ΄. ἐξεφωνήθη μηνὶ μαρτίῳ ἔτει τῆς*[4]*) βασιλείας ἰουστινιανοῦ.*

Novella CXXXV.

Ne quis cogatur bonis cedere.

Quae Deum.

1. Neque ob privatum neque ob publicum debitum quisquam cogitur bonis cedere, neque vero etiam verberatur. Sed si dicat se inopem esse, super sanctis oraculis iusiurandum praestet, quod omnino non habeat, unde creditoribus suis solvat, et tunc creditores ex persona eius actiones ei competentes exsequantur, exceptis tamen rebus uxoris eius. Eos autem, qui vel nudo consilio haec, quae sancita sunt, violare ausi fuerint, mulctae X auri librarum et vitae periculis praesens constitutio subiicit. Lege lib. VII Cod. tit. 7 const. 1 et 2 et 3 et 4 et 8 et tit. 72 const. 3. *Data mense Martio anno .. imperii Iustiniani.*

---

47) Cod. *αὐτοῦ.*

48) Malim *ὑπέστι.* Sed consentit *Athanasius* IV, 22 in f.

1) Cod. *Ὅσοι.*

2) Legendum videtur *αὐτοῦ.* Nov. 135 cap. 1: „*εἰς πρόσωπον τοῦ ποτε τῶν δικαίων κυρίου.*“ *Athanas.* XVI, 4: „*ἐκ προσώπου τῶν ὀφειλετῶν.*“ Vide etiam *Heimbach* *Ἀν.* I p. 265 lin. 9: „*ἐκ προσώπου αὐτοῦ.*“

3) Cod. *τῆς.*

4) Cod. *λῆς.* Num: *λ΄ τῆς;*

Νεαρὰ ρλϛʹ.

Περὶ τῶν ἀργυροπρατικῶν συναλλαγμάτων.

Οἱ ἐκ τοῦ συστήματος.

Ἐὰν ἀργυροπράτης ἐγγυητήν τινα λάβῃ ἢ μανδάτορα ἢ ἀντιφωνητήν, εἰ μὲν μηδὲν συμφωνηθῇ [1]), *χώραν ἔχει ἡ διάταξις ἡ λέγουσα, ὥστε τοὺς πρωτοτύπους παρόντας καὶ εὐποροῦντας ἐνέχεσθαι· ἐὰν δὲ συμφωνηθῇ ὥστε χωρεῖν αὐτὸν κατὰ* [2]) *τοῦ ἐγγυητοῦ πρῶτον* [3]), *ἔῤῥωται τὸ πάκτον, καὶ εἴ τις παρὰ τὰ εἰρημένα ποιήσει, προστιμᾶται ιʹ χρυσίου* [4]) *λίτρας κινδυνεύων καὶ εἰς τὴν σωτηρίαν αὐτοῦ. μέμνησο τῆς δʹ νεαρᾶς καὶ ἀνάγνωθι βι. ηʹ τοῦ κώδ. τί. μʹ διάτ. κγʹ καὶ κηʹ* [5]).

Ἔξεστιν ἑκάστῳ καταφρονεῖν τῶν ἰδίων δικαίων. ἀνάγνωθι βι. βʹ τοῦ κώδ. τί. γʹ διάτ. κθʹ.

Ἐάν τις τῶν ἀργυροπρατῶν στρατεύσηται ἢ τοὺς παῖδας αὐτοῦ στρατεύσῃ [6]), *δοκεῖ κατὰ πρόληψιν ἐξ ἀλλοτρίων ποιεῖσθαι τὰς στρατείας· ὅθεν ὑπόκεινται σιωπηρῶς εἰς ἃ χρεωστοῦσιν, εἰ μὴ ἄρα δειχθῶσιν ὅτι ἐκ τῶν οὐσιῶν αὐτῶν ἢ ἀπὸ τῆς μητρῴας οὐσίας τῶν παίδων ἢ ἀπὸ βασιλικῆς φιλοτιμίας εἰσὶν αὗται αἱ στρατεῖαι. ἰστέον γάρ* [7]), *ὅτι ἐάν τινες χρεωστῶσιν τοῖς ἀργυροπράταις, ἀναγκάζονται ἀποροῦντες* [8]) *περὶ τοῦ* [9]) *πληρῶσαι τὸ χρέος τὰς ἰδίας στρατείας* [10]) *δοῦναι καὶ συναγαγεῖν* [11]). *μέμνησο τῆς νγʹ καὶ ϟζʹ νεαρᾶς* [12]).

Ἐὰν ἀργυροπράτης δανείσῃ ἐπὶ ἀγορασίᾳ [13]) *πράγματος, ἔχει προγενεσίαν ὑποθήκης ἐπὶ τῷ ἀγορασθέντι, δεικνύων μέντοιγε* [14]) *ὅτι ἐκ τῶν χρημάτων αὐτοῦ ἠγοράσθη, εἴπερ μνήμη γένηται ὑποθήκης ἐν τῷ συναλλάγματι· εἰ δὲ ἀγράφως δώσῃ ἐν δανείῳ δηλονότι κόσμια ἢ ἄργυρον ἢ ἄλλα τινὰ τοιούτῳ τρόπῳ* [15]) *πράγματα, ἐκδικεῖ αὐτά, κἂν ὑποθήκην οὐκ ἔχῃ ἐπ᾿ αὐτοῖς, προτιμώμενος ὅλων τῶν ἐχόντων ὑποθήκην* [16]). *ἀνάγνωθι βι. ηʹ τοῦ κώδ. τί. ιγʹ διάτ. ιζʹ καὶ κζʹ* [17]).

Καὶ ἀγράφως συναλλάσσοντες οἱ ἀργυροπράται δύνανται ἀπαιτεῖν ἀνεπερώτητον δίμοιρον [18]) *τόκον. σημείωσαι τοῦτο ἰδικὸν ἐπὶ ἀργυροπρατῶν· ἀνεπερώτητος γὰρ τόκος οὐκ* [19]) *ἔστιν, κἂν συμφωνηθῇ, ὡς κεῖται βι. δʹ τοῦ κώδ. τί. λβʹ διάτ. γʹ.*

Ἐὰν ἐν ἀγοραίῳ συμβολαίῳ [20]) *ἢ ἐν ἰδιοχείρῳ ἢ ἐν ὑπογραφῇ ἀργυροπρατικῶν* [21]) *λογοθεσίων καταθῆταί* [22]) *τις χρεωστεῖν, ἐνέχεται καὶ αὐτὸς* [23]) *καὶ οἱ κληρονόμοι αὐτοῦ ταῖς PERSONALίαις ἀγωγαῖς· ταῖς γὰρ ὑποθηκαρίαις οὐ κατέχεται, εἰ μὴ ἄρα καὶ τοῦτο ἔδοξεν* [24]).

Novella CXXXVI.

De argentariorum contractibus.

Qui ex corpore.

1. Si argentarius fideiussorem acceperit vel mandatorem vel pecuniae constitutae reum, si quidem nihil convenerit, locum habet constitutio, quae dicit, reos principales, si adsint et solvendo sint, teneri; si vero convenerit, ut prius adversus fideiussorem agat, valet pactum, et si quis adversus dicta fecerit, X libris auri mulctatur et vitae periculum sustinet. Memineris Nov. IV et legas lib. VIII Cod. tit. 40 const. 23 et 28.

2. Cuilibet licet propria iura contemnere. Lege lib. II Cod. tit. 3 const. 29.

3. Si quis ex argentariis militet aut liberos suos militare fecerit, secundum praesumtionem ex alienis pecuniis militias comparasse videtur; ideoque tacite obligatae sunt pro his, quae debent, nisi forte militiae illae ex ipsorum substantia vel ex maternis liberorum bonis vel ex principali liberalitate ad eos pervenisse ostendantur. Sciendum scilicet, si qui argentariis debitores sint, et non habeant unde debitum persolvant, cogi eos, ut militias suas dent ac conferant. Memineris Nov. LIII et XCVII.

4. Si argentarius pecuniam crediderit ad rem aliquam emendam, potiorem habet hypothecam in re emta, si probaverit eam pecuniis suis comparatam esse, scilicet si hypothecae mentio facta sit in contractu; sin autem sine scripto crediderit et ornamenta aut pecuniam aut argentum aut alias res hoc modo dederit, vindicat eas, licet hypothecam non habeat, et omnibus, qui hypothecam habent, praefertur. Lege lib. VIII Cod. tit. 13 const. 17 et 27.

5. Argentarii, licet sine scripto contractum ineant, besses usuras citra stipulationem exigere possunt. Notes hoc, quod singulare sit in argentariis; citra stipulationem enim usurae non dantur, licet pacto convenerit, sicuti dictum est lib. IV Cod. tit. 32 const. 3.

6. Si quis in publico instrumento vel in idiochiro vel rationibus argentariorum subscribendo debere se confessus sit, tam ipse quam heredes eius personalibus actionibus cunveniuntur; hypothecariis autem non convenitur, nisi et hoc placuerit. Caete-

---

1) Bas. *συνεφωνήθη.*
2) Bas. *καὶ κατά.*
3) In Bas. *πρῶτον* deest.
4) Deest in Basil.
5) Bas. *τί. μαʹ διάτ. καʹ. κγʹ.*
6) Bas. *καὶ στρατεύσῃ τοὺς παῖδας αὐτοῦ.*
7) Bas. *δέ.*
8) Bas. *οὐκ ἀναγκάζονται εὐποροῦντες.*
9) Bas. *τό.*
10) Bas. *τοὺς χρεώστας διὰ στρ.*
11) Verba *καὶ συναγαγεῖν* in Basil. desunt.
12) Basilica huic capiti commentariolum *Theodori* nomine insignitum praemittunt, quem etiam, quasi *Theodori* sit, *Heimbachius* *Ἀν.* I p. 257 inter fragmenta *Theodori* recepit. Verum enimvero et interpretandi et dicendi ratio in commentariolo illo observata a *Theodoro* aliena, imo alienissima est. Ego illum alius interpretis, puta *Philoxeni*, esse crediderim; scholia nempe et nomina auctorum iis indita nonnunquam in Basilicis conturbata sunt. Vide *Heimbach* l. l. p. 244 not. 97.
13) Bas. *ἀγοραστοῦ.*
14) Bas. *μέντοι.*
15) Bas. *τοιουτότροπα.*
16) Bas. *ὑποθήκας.*
17) Sic Bas. Cod.: *νζʹ.*
18) Bas. *διμοιραῖον.*
19) Negationem eiiciendam esse censuit *Fabrotus.* Male.
20) Deest in Basil.
21) Bas. *ἀργυροπρατῶν.*
22) Bas. *κατάθηται.*
23) Bas. *οὗτος.*
24) Bas. *συνέδοξεν.*

πλὴν δίμοιρον[25]) τόκον ἀπαιτεῖται, κἂν μὴ ὥρισε τὸ ποσόν, μνήμην μόνον ἐνθεὶς[26]) ἐν τῷ ἐγγράφῳ περὶ τόκων.

Ἐάν τις ἐν ἀργυροπρατικῷ συμβολαίῳ ἢ ἐν λογοποιΐᾳ[27]) τὴν αἰτίαν ἐγγράφει[28]) τοῦ δανείσματος[29]), οὐ δύναται[29b]) ἀπαιτεῖν τὸν δανείσαντα τὰς τῶν αἰτιῶν ἀποδείξεις, ἀλλὰ μόνον ὅρκον αὐτῷ ἐπάγει πρὸ[30]) συμπληρώσεως τῶν χρόνων τῆς ἀναργυρίας. ἀνάγνωθι βι. δ' τοῦ κώδ. τί. λ' διάτ. ιγ' καὶ βι. η' τί. λθ' διάτ. γ' περὶ τῆς αἰτίας· περὶ δὲ τοῦ ὅρκου τὸ ἐναντίον φησὶν ἡ ιδ' διάταξις τοῦ [αὐτοῦ βιβλίου καὶ τίτλου. ἐξεφωνήθη] μηνὶ μαρτίῳ[31]) μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ις'.

rum besses usurae ab eo exiguntur, licet quantitatem earum non definiverit, sed solum mentionem usurarum in scriptura fecerit.

7. Si quis in instrumento argentariorum vel in rationibus causam crediti inscribat, a creditore causarum probationes exigere non potest, sed tantum iusiurandum ei deferre potest ante impletum tempus exceptionis non numeratae pecuniae. Lege lib. IV Cod. tit. 30 const. 13 et lib. VIII tit. 39 const. 3 de causa [debendi]: de iureiurando autem contrarium dicit const. 14 [eiusdem libri et tituli. *Data*] *mense Martio post consulatum Basilii anno XVI.*

Νεαρὰ ρλζ'.

Περὶ ἐπισκόπων καὶ κληρικῶν.

Εἰ[1]) τοὺς πολιτικοὺς νόμους.

Οἱ κληρικοὶ καὶ οἱ πρῶτοι τῆς πόλεως προκειμένων τῶν θείων[2]) εὐαγγελίων ἐπὶ γ' προσώπων τὸ ψήφισμα ποιείτωσαν τῶν ἐπισκόπων, ὀμνύοντες[3]) ὡς οὐ διὰ δόσιν οὐδὲ δι' ἄλλην τινὰ προσπάθειαν ἐπελέξαντο[4]) αὐτούς, ἀλλ' ὡς εἰδότες[5]) αὐτοὺς ὄντας τῆς καθολικῆς ἐκκλησίας καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὰ λ' ἔτη, καὶ ὡς οὐδὲ γαμετὴν οὐδὲ[6]) παῖδας ἔσχον, ἀλλ' ὅτι καί, εἰ[7]) ἔσχον γαμετήν, μίαν μόνον[8]) ἐκ παρθενίας οἴδασι καὶ οὐ χήραν οὐδὲ διαζευχθεῖσαν ἀνδρός, ἀλλὰ καὶ τοῖς κανόσιν ἤτοι τοῖς νόμοις μὴ ἀπηγορευμένην, καὶ ὅτι οὐ ταξεωτικῆς οὔτε βουλευτικῆς τύχης εἰσίν, εἰ μὴ ἄρα τὰ ιε' ἔτη ἀνελλιπῶς ἐποίησαν εἰς τὸ μοναστήριον[9]). καὶ τότε, εἰ σχῇ ὅλα ταῦτα τὸ[10]) ἐπὶ τῶν ἐπιλεγόντων τριῶν ἀνδρῶν ψήφισμα, γενέσθω εἷς ἐξ αὐτῶν ἐπίσκοπος, ὃν ἂν ἐπιλέξηται ὁ χειροτονῶν αὐτόν. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. μα' καὶ μζ'· μέμνησο δὲ τῆς ς' καὶ ρκγ'[11]) νεαρᾶς.

Ὁ χειροτονούμενος ἐπίσκοπος λίβελλον πρῶτον[12]) διδότω τῆς ἰδίας πίστεως, καὶ ἐπαγγελλέτω[13]) τὰς εὐχάς, καὶ ὀμνύτω[14]) μηδὲν δοῦναι μήτε μὴν ἐπαγγείλασθαι παρασχεῖν τινι[15]) ὑπὲρ τῆς χειροτονίας.

Ἐάν τι[16]) παρὰ τὰ εἰρημένα γένηται, τότε καὶ ὁ γενόμενος ἐπίσκοπος καὶ ὁ χειροτονήσας αὐτὸν ἐκβάλλονται τῆς ἐκκλησίας.

Novella CXXXVII.

De episcopis et clericis.

Si civiles leges.

1. Clerici et primi civitatis praepositis sanctis evangeliis in tribus personis suffragia ferant de episcopis, iurantes se neque ob donum aut aliam affectionem eos elegisse, sed quod scirent, eos esse catholicae ecclesiae et sanctae vitae annisque XXX maiores, neque aut uxorem aut liberos habuisse, vel etiam, si uxorem habuerint, unam tantum a virginitate eos novisse, nec viduam aut a marito separatam, neque canonibus aut legibus prohibitam, neque cohortalis vel curialis fortunae eos esse, nisi forte XV annos continuos in monasterio fecerint; et tunc, si haec omnia contineat decretum, quod de electis tribus viris factum est, unus ex iis episcopus fiat, quem elegerit qui eum ordinat. Legas lib. I Cod. tit. 3 const. 41 et 47; memineris vero Nov. VI et CXXIII.

2. Ordinandus episcopus primum libellum suae fidei exhibeat, precesque adnuntiet, et iuret se nihil dedisse aut cuiquam promisisse daturum pro electione.

3. Si quid praeter dicta factum fuerit, tunc et qui episcopus factus est, et qui eum ordinavit, ecclesia eiiciuntur.

---

25) Cod. διμοίριον.
26) Cod. ἐνθείσας.
27) Cod. λοποιΐᾳ. Basil.: Ἐάν τις ἀργυροπράτης συμβόλῳ ἢ ἐν λογοπ.
28) Bas. ἔγραφεν.
29) Bas. δανείου.
29b) Cod. δύνανται.
30) Bas. ἐπάγειν περί.
31) Cod. ἡ ιδ' διάταξις τοῦ μηνὸς μαρτίου. Excidisse quaedam plus quam manifestum est: ea num recte suppleverim, tu ipse videas.
1) Cod. εἰς.
2) Bodl. ἁγίων.
3) Bodl. ὀμνῦντες.
4) Cod. ἐπιλέξαντο.
5) Bodl. ἰδόντες.
6) Bodl. οὔτε — οὔτε.
7) Bodl. εἰ καί.
8) Bodl. μόνην.
9) Bodl. εἰς μοναστήρια.
10) Cod. τω.
11) Cod. κγ'.
12) Bodl. πρότερον.
13) Bodl. ἀπαγγ.
14) Bodl. ὀμνυέτω.
15) Bodl. μηδὲν δοῦναι ἢ παρασχεῖν τί τινι.
16) Deest in Bodl.

Ἐὰν κατηγορηθῇ ὁ μέλλων χειροτονεῖσθαι ὡς ἀνεπιτήδειος, ἀναβαλλέσθω τέως ἡ χειροτονία, καὶ προβαινέτω ἡ ἐξέτασις παρόντος τοῦ ἀντιδίκου ἢ ἀπόντος ἐντὸς γ΄ μηνῶν, καὶ κωλυέσθω ἡ χειροτονία. καὶ ἐὰν [17] εὑρεθῇ ὁ χειροτονούμενος ὑπαίτιος κατὰ νόμους ἢ κανόνας, κωλυέσθω· εἰ γὰρ ἀνεύθυνος εὑρεθῇ, χειροτονεῖται· εἰ δὲ χειροτονηθῇ παρὰ τὰ εἰρημένα, καὶ αὐτὸς καὶ ὁ χειροτονῶν αὐτὸν τῆς ἐκκλησίας ἐκβάλλονται. ἐὰν δὲ ὁ κατήγορος παρὼν μὴ δείξῃ, ἃ διεβεβαιώσατο, ἢ καὶ [18] ἀπολειφθῇ, εἰ μὲν κληρικός ἐστιν, τῆς ἐκκλησίας ἐκβάλλεται, εἰ δὲ λαϊκὸς εἴη [19]), δεόντως σωφρονίζεται [20]). μέμνησο τῆς ς΄ καὶ ρκγ΄ νεαρᾶς.

Μία γενέσθω σύνοδος κατ᾽ ἔτος ἢ τῷ ἰουνίῳ ἢ τῷ σεπτεμβρίῳ μηνί, καὶ ζητείσθω τὰ κανονικά. τοῦτο δὲ καὶ διὰ παντὸς καλόν ἐστι κατερευνᾶν. μέμνησο τῆς ρκγ΄ νεαρᾶς.

Τὰς εὐχὰς ἐκβοάτω ὁ ἱερεὺς ἔμπροσθεν παντὸς τοῦ λαοῦ.

Ἐφίεται καὶ τοῖς ἄρχουσιν ἐκβιβάζειν τὰ εἰρημένα καὶ μηνύειν, ἐπεὶ τιμωροῦνται ἐσχάτως μετὰ τῆς τάξεως αὐτῶν.

Ἡ παροῦσα διάταξις βεβαιοῖ τὰς πρὸ αὐτῆς διατάξεις. ἐξεφωνήθη μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ις΄.

4. Si ordinandus accusatus fuerit tanquam non idoneus, ordinatio interim differatur, et inquisitio procedat praesente adversario vel absente intra tres menses, atque ordinatio inhibeatur. Et si ordinandus inveniatur obnoxius secundum leges vel canones, prohibeatur; sin innoxius inveniatur, ordinatur; si vero praeter dicta ordinatus fuerit, et ipse et qui eum ordinavit ecclesia eiiciuntur. Sed si accusator praesens non probaverit, quae affirmavit, vel non apparuerit, siquidem clericus sit, ecclesia eiicitur, si vero laicus sit, competenter castigatur. Memineris Nov. VI et CXXIII.

5. Una celebretur synodus in quoque anno vel Iunio vel Septembri mense, et [ibi] examinentur canonicae causae. Hoc tamen omni tempore examinare bonum est. Memineris Nov. CXXIII.

6. Preces pronuntiet sacerdos coram universo populo.

7. Permittitur etiam praesidibus dicta exsequi et de iis referre; alioquin ultimo supplicio afficiuntur cum officio suo.

8. Praesens constitutio confirmat constitutiones ante ipsam datas. *Data post consulatum Basilii anno XVI.*

Νεαρὰ ρλη΄.

Περὶ βασιλικῆς ἑρμηνείας, καὶ περὶ [τοῦ] [1]) τοὺς καταβαλλομένους τόκους κατα μέρος τὸ διπλοῦν μὴ ὑπερβαίνειν.

Βασιλικὴ κρίσις περὶ τοῦ εἰς τὸ διπλοῦν ῥέοντος τόκου [2]).

Ἡ παροῦσα διάταξις δηλοῖ, ὅτι καὶ [3]) οἱ κατὰ μέρος καταβαλλόμενοι τόκοι τὸ διπλοῦν τοῦ χρέους οὐχ ὑπερβαίνουσιν. μέμνησο τῆς ρκα΄ νεαρᾶς, καὶ ἀνάγνωθι βι. δ΄ τοῦ κώδ. τί. λβ΄ διάτ. κζ΄· ὑφεξήρηται [4]) δὲ τὸ κείμενον ἐν τῇ ρξ΄ νεαρᾷ περὶ τῶν τόκων τῶν πολιτικῶν χρημάτων.

Πᾶσα θεία καὶ [5]) βασιλικη ἑρμηνεία ἰσχὺν ἔχει νόμου. ἀνάγνωθι βι. α΄ τοῦ κώδ. τί. ιδ΄ διάτ. α΄ καὶ θ΄ καὶ ια΄ καὶ ιβ΄.

Novella CXXXVIII.

De principali interpretatione, et ut usurae, quae per partes solvuntur, duplum non excedant.

Sententia principalis de usuris ad duplum cumulatis.

1. Praesens constitutio significat, usuras, quae per partes solvuntur, duplum debiti non excedere. Memineris Nov. CXXI, et legas lib. IV Cod. tit. 32 const. 27; exceptum autem est, quod in Nov. CLX dictum est de usuris pecuniarum publicarum.

2. Omnis sacra et principalis interpretatio vim legis habet. Lege lib. I Cod. tit. 14 const. 1 et 9 et 11 et 12.

---

17) Bodl. εἰ.
18) Deest in Bodl.
19) Bodl. ἐστι.
20) Bodl. addit: καὶ ἐπὶ τρεῖς μῆνας ἐξορίζεται.

1) Deest in Cod. tam hic quam supra in indice.
2) Haec verba aut secundam inscriptionem continere videntur, aut verborum initialium huius Novellae, quae latina est, satis corruptam versionem. *Haloander* nihil eiusmodi habet.
3) Deest in Basil.
4) Basil. ὑπεξῄρηται.
5) Deest in Basil.

Νεαρὰ ρλθ'.

Περὶ συγχωρήσεως ἀθεμιτογαμιῶν.

Ἀπὸ δεήσεως συνεχωρήθη τοῖς σιδωνίοις καὶ τοῖς ἑβραίοις τύρου ἡ ἤδη προϋπάρξασα αὐτοῖς ἀθεμιτογαμία, ὥστε μηδὲ τὸν γάμον λυθῆναι, ἀλλὰ καὶ τοὺς ὄντας αὐτοῖς ἢ ἐσομένους παῖδας γνησίους εἶναι, παρεχομένων μέντοιγε ὑπὲρ τῆς τοιαύτης συγχωρήσεως ἀνὰ ι' λιτρῶν χρυσίου. πλὴν τοῦ λοιποῦ ἀπηγόρευται ἄλλοις τισὶν αἰτῆσαι τὰ παραπλήσια πώποτε [1]). ὁ γὰρ ἔτι συγχώρησιν ἀθεμιτογαμίας αἰτῶν ἐκπίπτει τῆς ἰδίας οὐσίας καὶ σωματικὰς ὑφέξει ποινὰς διηνεκῶς ἐξοριζόμενος. μέμνησο τῆς ιβ' νεαρᾶς, καὶ ἴσθι, ὅτι ἡ παροῦσα διάταξις τοπική ἐστιν.

Novella CXXXIX.

De remissione incestarum nuptiarum.

1. **Ob supplicationem remissae sunt Sidonensibus et Hebraeis Tyri, quas iam ante contraxerant, incestae nuptiae, ita ut nec solvatur matrimonium et liberi, quos habent vel habituri sunt, legitimi sint, datis pro hac remissione X libris auri. Sed de caetero aliis vetitum est, similia unquam petere; qui enim adhuc remissionem incestarum nuptiarum petierit, substantia sua excidit et corporales poenas sustinebit in perpetuum relegandus. Memineris Nov. XII, et scias, hanc constitutionem localem esse.**

Νεαρὰ ρμ'.

Περὶ τοῦ κατα συναίνεσιν λύειν τὸν γάμον, ὅτι ἐκ συναινέσεως γάμος λύεται [1]).

Γάμου σεμνότερον [2]).

Δυνατὸν καὶ ἐκ συναινέσεως γάμον λύεσθαι, τῶν ἠπειλημμένων ποινῶν ἀνῃρημένων. πλὴν χρεία πρὸς τῇ συναινέσει καὶ ῥεπουδίου. μέμνησο τῆς ριζ' καὶ τῆς ρλδ' νεαρᾶς.

Ἡ παροῦσα διάταξις ἐπικυροῖ τὰς ἐγκειμένας αἱρέσεις καὶ τοὺς ἐμφερομένους ἄλλους τρόπους ἐν τῇ διατάξει τῇ κα' [3]) περὶ ῥεπουδίου διαλεγομένῃ. ἐξεφωνήθη ἐπὶ τοῦ πρώτου ἔτους ἰουστινιανοῦ [4]) τοῦ εὐσεβεστάτου.

Novella CXL.

De solutione matrimonii, quae consensu fit, [ut consensu matrimonium solvi possit.]

Nuptiis decentius.

1. **Potest etiam consensu matrimonium solvi, poenis indictis abrogatis. Sed praeter consensum etiam repudio opus est. Memineris Nov. CXVII et CXXXIV.**

2. **Praesens constitutio confirmat conditiones et reliquos modos, qui in constitutione XXI (?) de repudio tractante relati sunt.** ***Data primo anno Iustiniani piissimi.***

Νεαρὰ ρμα'.

Περὶ STUPROυ.

Τῆς τοῦ θεοῦ φιλανθρωπίας.

Οἱ μὴ κατὰ μετάνοιαν καὶ προσαγγελίαν ἑαυτοὺς ἀποστήσαντες τῶν ἀσέμνων ἀσελγειῶν πικρότερον τιμωροῦνται. ἀνάγνωθι βι. θ' τοῦ κώδ. τί. θ' διάτ. λ'.

Novella CXLI.

De stupro.

Dei humanitate.

1. **Qui non poenitentes et denuntiantes se desistunt ab impia lascivia, gravius puniuntur. Lege lib. IX Cod. tit. 9 const. 30.**

Νεαρὰ ρμβ'.

Περὶ τῶν εὐνουχιζόντων.

Αἱ παρὰ τῶν πρὸ ἡμῶν βεβασιλευκότων.

Ὁ εὐνουχίζων τινὰ πρὸς ταῖς περιεχομέναις [1]) τοῖς νόμοις [2]) ποιναῖς, εἰ μὲν ἄῤῥην ἐστί [3]), δημεύεται [4]) καὶ

Novella CXLII.

De his, qui eunuchos faciunt.

Qüae ab his, qui ante nos imperatores fuerunt.

1. **Qui aliquem eunuchum facit, praeter poenas legibus comprehensas, si quidem vir est, publicatur**

---

1) Cod. *πόποτε.*

1) Haec verba: *ὅτι ἐκ συν. κ. τ. λ.* male a margine in textum irrepsisse crediderim. Etenim *σημείωσιν* i. e. notam marginalem sapiunt.

2) Cod. *σεμνότερος.*

3) Emendatione hic locus indiget. Sed quomodo emendem, dubius sum. Fortassis legendum *κβ'*, fortassis legendum *πα*, quod significat *παλαιᾷ.*

4) Legendum: *ἰουστίνου.* Idem *σφάλμα* infra recurrit in rubrica Nov. CLXIV.

1) Cod. *τοῖς περιερχομ.*

2) Cod. *τοῖς νό* (sic). — Bas.: *τῷ νόμῳ.*

3) Haec verba: *εἰ — ἐστὶ* in Basil. collocata sunt ante illá: *πρὸς ταῖς κ. τ. λ.*

4) Bas. *καὶ δημ.*

εἰς γύψον[5]) διηνεκῶς ἐξορίζεται· εἰ δὲ γυνὴ εἴη, τιμωρεῖται καὶ διηνεκῶς ἐξορίζεται. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. μβ' διάτ. α' καὶ β'.

Οἱ εὐνουχισθέντες ἐλευθεροῦνται, καὶ οὐ καταδουλοῦνται κατά τινα τρόπον οὔτε ἀπὸ συμβολαίου οὔτε ἐξ ἀνακρίσεως.

Ὁ ὑπάρχων[6]) τῷ εὐνουχίζοντι ὁμοίως αὐτῷ τιμωρεῖται.

Δοῦλος εὐνουχισθεὶς διὰ πάθος ἐλεύθερος ἔστω, καὶ εἰ κατασχῇ τις αὐτὸν ἢ δουλαγωγήσῃ, προνοίᾳ βασιλικῇ ἢ ταξεωτικῇ ἐκδικεῖται.

Ἡ παροῦσα διάταξις κρατεῖ ἀπὸ τῆς νέας ι' ἰνδικτιῶνος. ἐξεφωνήθη μηνὶ δεκεμβρίῳ ἔτει λβ' τῆς βασιλείας Ἰουστινιανοῦ μετὰ ὑπατείαν Βασιλείου τὸ ιζ'.

et Gypsum in perpetuum deportatur: si vero femina sit, punitur et in perpetuum relegatur. Lege lib. I. Cod. tit. 42 const. 1 et 2.

2. Qui castrati sunt, liberi fiunt, nec in servitutem revocantur aliquo modo neque ex instrumento neque ex anacrisi.

3. Qui castranti auxilium fert, perinde punitur.

4. Servus, qui ob morbum castratus est, liber sit, et si quis eum detinuerit vel in servitutem traxerit, providentia imperatoris vel officii vindicatur.

5. Praesens constitutio valet a nova X indictione. *Data mense Decembri anno XXXII imperii Iustiniani post consulatum Basilii anno XVII.*

Νεαρὰ ρμγ'.

Περὶ γυναικὸς ἁρπαγείσης.

Νόμου ἑρμηνείαν.

Ὁ ἁρπάζων γυναῖκα μνηστευθεῖσαν[1]) ἢ ὕπανδρον ἢ τὴν μὴ τοιαύτην ἢ χήραν κεφαλικῶς[2]) τιμωρεῖται μετὰ τῶν συνοδευσάντων[3]) αὐτῷ ἐν τῇ ἐφόδῳ. ἀνάγνωθι βι. θ' τοῦ κώδ. τί. ιγ' διάτ. α'.

Τὴν ἁρπαγὴν τῆς βιασθείσης ἐκδικοῦσιν οἱ γονεῖς καὶ οἱ ὁμαίμονες[4]) καὶ οἱ ἐπίτροποι καὶ οἱ κουράτωρες αὐτῆς, μάλιστα εἰ γεγάμηται ἢ μεμνήστευται[5])· τότε γὰρ οὐ μόνον ἁρπαγή, ἀλλὰ καὶ μοιχεία πλημμελεῖται. ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. νγ', καὶ σημείωσαι ὅτι μοιχεία καὶ ἐπὶ μνήστης[6]) τρακταΐζεται.

Ἐκδικείτωσαν αἱ ἁρπαγεῖσαι γυναῖκες[7]) τὰ πράγματα τῶν ἁρπαζόντων[8]) αὐτάς, τῆς[9]) προικὸς μέντοιγε τῷ ἀνδρὶ παρεχομένης. ἀνάγνωθι τὴν ρν' νεαράν.

Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι[10]) αὐτήν, ἀλλὰ καὶ εἰ συναινέσωσι[11]) τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, δεπορτατεύονται. ἀνάγνωθι βι. θ' τοῦ κώδ. τί. ιγ' διάτ. α' καὶ νεαρὰν ρν'.

Ἐὰν ἡ ἁρπαγεῖσα ἀσπάσηται[13]) τὸν τοῦ ἁρπάσαντος[14]) αὐτὴν γάμον, κἂν οἱασδήποτε αἱρέσεως ἢ ἡλικίας εἴη, μὴ συναινούντων τῶν γονέων αὐτῆς παραχρῆμα, οὐ λαμβάνει τὶ[15]) τῶν τοῦ ἀνδρὸς πραγμάτων, ἀλλ' ὁ μὴ συναινέσας γονεύς, κἂν μήτηρ εἴη, λαμβάνει αὐτά· NEFARIOς[16]) γάρ ἐστιν ὁ τοιοῦτος γάμος. εἰ δὲ οἱ γονεῖς αὐτῆς ἐτελεύτησαν ἢ μετὰ ταῦτα συνήνεσαν, τότε FISCOῦται[17]) ἡ οὐσία τοῦ ἁρπάσαντος αὐτήν, οὐ μὴν ἀλλὰ

Novella CXLIII.

De muliere raptum passa.

Legis interpretationem.

1. Qui feminam, desponsatam vel maritatam vel non huiusmodi feminam vel viduam rapit, capitaliter punitur cum his, qui eum in aggressione comitati sunt. Lege lib. IX Cod. tit. 13 const. 1.

2. Raptum eius, quae vim passa est, parentes vindicant, et qui eiusdem sanguinis sunt, et tutores curatoresve eius, maxime si maritata vel desponsata sit; tunc enim non tantum raptus, sed etiam adulterium committitur. Lege lib. I Cod. tit. 3 const. 53, et nota, adulterium etiam in sponsa tractari.

3. Raptae mulieres bona raptorum vindicent, dote scilicet marito praestanda. Lege Nov. CL.

4. Rapta ne nubat raptori suo: sed et si consenserint huiusmodi nuptiis parentes eius, deportantur. Lege lib. IX Cod. tit. 13 const. 1 et Nov. CL.

5. Si rapta amplectatur raptoris sui nuptias, cuiuscunque conditionis vel aetatis sit, parentibus non confestim consentientibus, nihil capit ex viri bonis, sed parens, qui non consensit, licet mater sit, ea accipit: nefariae enim sunt huiusmodi nuptiae. Si vero parentes eius mortui sint vel postea consenserint, tunc publicatur substantia raptoris eius

---

5) Cod. γῆψον.
6) An ὑπουργῶν;
1) Hal. μνησθεῖσαν.
2) Hal. νομίμως.
3) Hal. addit: ἢ βοηθησάντων.
4) Cod. ὁμαίμοι. Sed aut ὅμαιμοι scribendum fuit, aut recipienda Basilicorum lectio ὁμαίμονες.
5) Sic Bas. — Cod.: εἰ μνήστευται. Sed fortasse legendum est: εἰ μεμνήστευται.
6) Bas. μνηστῆς.

7) Deest apud Hal. et in Bas.
8) Hal. ἁρπασάντων.
9) Apud Hal. deest.
10) Hal. et Bas. ἁρπάζοντι.
11) Hal. et Bas συναινέσουσι.
12) Hal. ἐξορίζονται. Bas. περιορίζονται.
13) Hal. ἁρπάσηται.
14) Hal. et Bas. ἁρπάζοντος.
15) Deest apud Hal.
16) Hal. et Bas. ἀθέμιτος.
17) Hal. et Bas. εἰσκομίζεται.

καὶ τὰ αὐτῆς[18] πράγματα[19]. μέμνησο τοῦ τέλους τῆς ρκγ΄ νεαρᾶς, καὶ ἀναγνωθι βι. θ΄ τοῦ κώδ. τί. ιγ΄ διάτ. α΄. ἐξεφωνήθη μηνὶ ἰουνίῳ βασιλείας ἔτει λς΄ μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ιβ΄.

nec non ipsius mulieris bona. Memineris Nov. CXXIII in fine, et legas lib. IX Cod. tit. 13 const. 1. *Data mense Iunio imperii anno XXXVI post consulatum Basilii anno XII.*

Νεαρὰ ρμδ΄.

Περὶ σαμαρειτῶν.

Οἱ σαμαρεῖται οὐ κληρονομοῦσιν ἐκ διαθήκης οὔτε ἐξ ἀδιαθέτου, οὐ μὴν ἀλλ᾽ οὔτε λεγάτα λαμβάνουσιν οὔτε δωρεάς, ὥσπερ οὔτε οἱ ἄλλοι αἱρετικοί, κἂν προσποιοῦνται εἶναι χριστιανοί. ἀνάγνωθι βι. α΄ τοῦ κώδ. τί. ε΄ διάτ. ζ΄, καὶ μέμνησο τῆς ρκθ΄ νεαρᾶς· ἀνήρηται γάρ.

Ἔφειται τοῖς σαμαρείταις διδόναι ὅσα θέλουσι κατὰ διαθήκας καὶ ληγατεύειν καὶ δωρεῖσθαι τοῖς οὖσι πίστει καὶ ἔργῳ χριστιανοῖς. εἰ δὲ μὴ ὑπείη αὐτοῖς διάδοχος χριστιανός, δημεύεται ἡ οὐσία αὐτῶν μετὰ τελευτήν. ἡ γὰρ παροῦσα διάταξις ἀναιρεῖ τὴν πρὸ αὐτῆς διάταξιν. μέμνησο τῆς ρκθ΄ [νεαρᾶς][1] καὶ ἀνάγνωθι βι. α΄ τοῦ κώδ. τί. ε΄ διάτ. ιγ΄ καὶ ιη΄ καὶ ιθ΄.

Οἱ γεωργοί, κἂν σαμαρεῖταί εἰσιν, διατίθενται καὶ λεγατεύουσι τοῖς ἀνιοῦσι καὶ κατιοῦσι καὶ τοῖς ἐκ πλαγίου αὐτῶν, κἂν σαμαρεῖται εἰσίν, καὶ αὐτοὶ μέντοιγε εἰ γεωργοὶ ὦσιν καὶ ὑπὸ δεσποτείαν τελοῦσιν. ὅθεν καὶ ἐξ ἀδιαθέτου ἀλλήλους διαδέχονται· εἰ δὲ τελευτήσωσιν οἱ τοιοῦτοι μὴ ἔχοντες διάδοχον, λαμβάνει τὴν οὐσίαν αὐτῶν ὁ ἴδιος δεσπότης.

Μὴ στρατευέσθω σαμαρείτης μήτε μετερχέσθω πολιτικὸν φρόντισμα, οὐ μὴν ἀλλα μηδὲ συνηγορείτω μήτε συνεδρευέτω μήτε συνιστάσθω[2] μήτε παιδευέτω. εἰ δὲ ἐν προσχήματι χριστιανοῦ τις γένηται τῶν εἰρημένων καὶ μετὰ ταῦτα φανῇ τὰ αὐτὰ θρησκεύων, δημεύεται καὶ διηνεκῶς ἐξορίζεται. ἰστέον δέ, ὅτι ταῖς ποιναῖς ὑπόκεινται καὶ οἱ προϊστάμενοι τῶν τοιούτων κατὰ χριστιανῶν. ἀνάγνωθι βι. α΄ τοῦ κώδ. τί. ε΄ διάτ. ιβ΄. καὶ ιδ΄ καὶ ιη΄ καὶ κα΄[3].

Οἱ σαμαρεῖται γενόμενοι χριστιανοὶ δύο ἔτη κατηχείσθωσαν· εἰ δὲ νέοι εἰσίν, οὐ δέονται τῆς παραφυλακῆς ταύτης. ἐξεφωνήθη ἐπὶ τοῦ ζ΄ ἔτους βασιλείας ἰουστινιανοῦ.

Novella CXLIV.

De Samaritis.

1. Samaritae non succedunt ex testamento neque ab intestato, neque etiam legata accipiunt neque donationes, quemadmodum nec reliqui haeretici, licet se christianos praedicaverint. Legas lib. I Cod. tit. 5 const. 7, et memineris Nov. CXXIX: haec scilicet abrogata est.

2. Permissum est Samaritis quae voluerint testamento relinquere vel legare vel donare iis, qui fide et actu Christiani sunt. Sin autem successorem Christianum non habeant, substantia eorum post mortem publicatur. Scilicet praesens constitutio eam, quae ante data est, tollit. Memineris Nov. CXXIX, et legas lib. I Cod. tit. 5 const. 13 et 18 et 19.

3. Agricolae, licet Samaritae sint, heredes relinquunt vel legatarios ascendentes suos et descendentes et ex latere venientes, si vel Samaritae sint, si tamen et hi agricolae sint et domino subsint. Ideoque etiam ab intestato sibi invicem succedunt; sin autem eiusmodi personae sine successore decesserint, substantiam eorum dominus capit.

4. Samarita ne militet neve civilem curam suscipiat, neve etiam advocatus fiat vel assessor vel [inter rhetores] referatur vel [adolescentes] instituat. Si quis tamen Christianum se esse simulans huiusmodi quid factus sit et postea visus fuerit in priori cultu remanere, publicatur et in perpetuum relegatur. Sciendum est autem, quod iisdem poenis subiacent etiam ii, qui eiusmodi personis adversus Christianos patrocinium praestant. Lege lib. I Cod. tit. 5 const. 12 et 14 et 18 et 21.

5. Samaritae, qui Christiani fiunt, per biennium catechumeni esse debent: si vero iuvenes sint, hac observatione non indigent. *Data VII anno imperii Iustiniani.*

Νεαρὰ ρμε΄.

Περὶ τοῦ δουκὸς ἢ βιοκωλύτου[1] λυκαονίας καὶ λυδίας.

Τοῖς ἀεὶ παρεμπίπτουσιν.

Ἐξῄρηται ἑκατέρα φρυγία καὶ πισσιδία τῆς τοῦ δουκὸς ἤγουν βιοκωλύτου δικαιοδοσίας, οὐ μὴν ἀλλὰ καὶ τῆς τῶν ταξεωτῶν αὐτῶν, ποινῆς ἐπικειμένης λ΄ λιτρῶν χρυσίου.

Novella CXLV.

De duce sive biocolyta Lycaoniae et Lydiae.

His quae semper incidunt.

1. Utraque Phrygia et Pisidia exemta est a iurisdictione ducis sive biocolytae nec non officialium eorum, sub poena XXX librarum auri.

---

18) Cod. *αὐτῆς*.
19) Hal. addit: *τῷ δημοσίῳ*.
1) Deest in Cod.

2) Hoc certe brevius dictum est pro „*ἐν ῥήτορσι συνιστάσθω*."
3) Cod. *καὶ κβ΄ καὶ κα΄*.
1) Cod. *βιοκολύτου*.

Ἄρχει ἕκαστος ἐπαρχειώτης ἄρχων λυκαονίας καὶ λυδίας καὶ μόνον μία χρυσίου λίτρα[2]).

Τοῖς πολιτικοῖς ἄρχουσιν αἱ τρεῖς ἐπαρχίαι ὑπόκεινται καὶ εἰς τὰ ἐγκλήματα. οἱ γὰρ πολιτικοὶ ἄρχοντες μὴ ἐπεξιόντες[3]) *τοῖς λησταῖς καὶ ἅρπαξι, παρέξουσι τὰς ζημίας τοῖς ἀδικηθεῖσιν οἴκοθεν, κἂν ἔτι ἄρχουσι κἂν τῆς ἀρχῆς ἤδη ἐπαύσαντο.*

Ὁ βιοκωλύτης μὴ κωλύσῃ τὶ τῶν ὑπὸ τοῦ ἐπισκόπου γινομένων, ἐπεὶ εἴργων αὐτὸν λ΄ λίτρας χρυσίου προστιμᾶται μετὰ τῶν ὑπουργησάντων αὐτῷ, οὐ μὴν ἀλλὰ καὶ τῆς ἀρχῆς ἐκπίπτει κινδυνεύων περὶ τὴν οὐσίαν αὐτοῦ. ἐξεφωνήθη μηνὶ φεβρουαρίῳ ἔτει λε΄ τῆς βασιλείας ὑπατείᾳ βασιλείου τὸ ιγ΄.

2. [Dux sive biocolyta] solum Lycaoniae et Lydiae praeest. (?)

3. Dictae tres provinciae civilibus praesidibus subsunt etiam quod ad crimina attinet. Civiles enim praesides, si non persequantur latrones et raptores, ex propriis damna iniuriam passis resarcient, sive adhuc praesides sint sive praesidatum deposuerint.

4. Biocolyta ne quid inhibeat, quod ab episcopo fit; alioquin si eum impediat, XXX libris auri mulctatur cum officialibus suis, et magistratu excidit et circa substantiam suam periclitatur. *Data mense Februario anno XXXV imperii Consule Basilio XIII.*

Νεαρὰ ρμϛ΄.

Περὶ τοῦ ἀναγινώσκειν τοὺς ἑβραίους τὰς γραφὰς ἑλληνιστὶ καὶ ἑβραϊστί, καὶ περὶ ἀναιρέσεως τῆς δευτερώσεως, καὶ περὶ τῶν μὴ ὁμολογούντων κρίσιν ἢ ἀνάστασιν ἢ τοὺς ἀγγέλους κτίσμα θεοῦ εἶναι.

Ἐχρῆν μὲν ἑβραίους.

Οἱ ἑβραιοῖ μὴ μόνον τῇ ἑβραΐδι φωνῇ ἀλλὰ καὶ τῇ ἐπιχωρίῳ τῶν τόπων ἀναγινωσκέτωσαν τὰς γραφὰς ἐν ταῖς συναγωγαῖς καὶ ἐν ἄλλοις τόποις ἢ συνόδοις· πλὴν ἐὰν ἑλληνιστὶ[1]) *ἀναγνῶσι, κεχρήσθωσαν μόνῃ τῇ ἑρμηνείᾳ τῶν ἑβδομήκοντα οὐ μὴν ἀλλὰ καὶ τοῦ ἀκύλα*[2]).

Ἀναιρείσθω ἡ δευτέρωσις.

Δεῖ τοὺς ἑβραίους ἀναγινώσκειν τὰς βίβλους ἀναπτύσσοντας καὶ μὴ ἀλλοκοτωτάτους[3]) *πράττεσθαι γραφάς.*

Οὐδεὶς ἑβραῖος οὕτω χρώμενος ζημιοῦταί τι οὐδὲ κωλύεται ὑπό τινος τῶν διδασκάλων ἢ ....[4]) *ποινῆς ὑποκειμένης αὐτοῖς σωματικῆς οὐ μὴν ἀλλὰ καὶ ἀφαιρέσεως οὐσίας.*

Ὁ μὴ ὁμολογῶν ἑβραῖος κρίσιν ἢ ἀνάστασιν ἢ ποίημα[5]) *θεοῦ τοὺς τιμίους ἀγγέλους ἀπελαυνέσθω παντὸς τόπου καὶ εἰς σῶμα τιμωρείσθω. ἐξεφωνήθη μηνὶ φεβρουαρίῳ ἔτει κϛ΄ μετὰ ὑπατείαν βελισαρίου τὸ ιβ΄.*

Novella CXLVI.

Ut Hebraei legant scripturas graece et hebraice, et de abrogatione deuteroseos, et de his, qui non credunt iudicium aut resurrectionem aut angelos opus Dei esse.

Necessarium quidem erat Hebraeos.

1. Hebraei non solum hebraica lingua, verum etiam ea, quae in locis illis consueta sit, scripturas legant in synagogis et in aliis locis vel conventibus; sed si graece legant, sola utantur translatione septuaginta interpretum vel etiam Aquilae.

2. Deuterosis tollatur.

3. Hebraei legere debent ipsos libros evolventes nec absurdas scripturas recipiant.

4. Nullus Hebraeus, qui ita [scripturis] utitur, iniuriam aliquam patitur aut a magistris vel [presbyteris] prohibetur, qui alioquin corporali poenae nec non bonorum confiscationi subiacent.

5. Hebraeus, qui non credit iudicium aut resurrectionem aut opus Dei esse venerandos angelos, ab omni loco expellatur et in corpus puniatur. ***Data mense Februario anno XXVI post consulatum Belisarii anno XII.***

Νεαρὰ ρμζ΄.

Περὶ συγχωρήσεως λοιπάδων δημοσίων.

Εἰ[1]) *καὶ δαπάνης νῦν πολλῆς.*

Συγχώρησιν λοιπάδων κβ΄ ἐτῶν ἀπὸ α΄ μέχρι ζ΄ ἐπινεμήσεως εἰσάγει ἡ παροῦσα διάταξις, καὶ εἰ κτητο-

Novella CXLVII.

De indulgentia reliquorum publicorum.

Etsi expensam multam nunc.

1. Indulgentiam reliquorum XXII annorum a prima usque ad septimam indictionem praesens constitutio

---

2) Haec omnino corrupta sunt. Legendum crediderim: *Ἄρχει ὁ δοὺξ ἢ βιοκωλύτης λυκαονίας καὶ λυδίας καὶ μόνον.*

3) Cod. *ἐπαξ.*

1) Cod. *ἑλληνιστεῖ.*

2) Nov. 146 c. 1 §. 1: *Ἀκύλου.*

3) Cod. *ἀλλωκοτάτους.* Scribendum est *ἀλλοκότους* vel *ἀλλοκοτωτάτας* vel *ἀλογωτάτας.*

4) In Cod. nullum lacunae vestigium apparet. Sed aut delendum est hoc *ἢ*, aut excidit aliquid. Nov. 146 cap. 1 §. 1 „*οἱ παρ᾽ αὐτοῖς ἀρχιφερεκῖται ἢ πρεσβύτεροι τυχὸν ἢ διδάσκαλοι.*“

5) Cod. *ποιήμα.* An *ποιήματα;*

1) Cod. *ἡ.*

ρικὸν χρυσίον ἢ ἄλλο τὶ εἴη τὸ συντελούμενον πᾶσι τοῖς ἐπάρχοις ἢ τῷ κόμητι τῶν θησαυρῶν ἢ τοῖς ἐκταγαρίοις συγκεχώρηται, καὶ πρὸς τὸ δημόσιόν ἐστιν, κἂν γεωργοὶ ἢ μισθωτοὶ ἢ ἐμφυτευταὶ χρεωστοῦσιν αὐτὸ τῷ κόμητι τῶν πατριμονίων. ἀνάγνωθι τὴν ἑξῆς ρμη' καὶ τὴν ρξγ' νεαράν.

Ὅσα βουλευταῖς ἢ ἐκλήπτορσιν... ἀπαιτοῦνται, κἂν ὑποδέκται κἂν τρακτευταὶ αὐτὰ ἔχωσιν... ὡμολόγησαν ἢ ἀντιφώνησαν ἢ σκρινιάριοι ἢ ἀρκάριοι συγκεχώρηται, δηλονότι ἀπὸ τῆς α' ἰνδικτιῶνος[2]).

Οἱ λαβόντες FOEDERATIC*ὰ ἢ στρατιωτικὰ ἢ πολιτικὰ καὶ οἱ τῶν ἔργων* DISCURSOR*ες ἀπαιτοῦνται καὶ οὐ συγχωροῦνται. ἐξεφωνήθη μηνὶ μαΐῳ ἔτει ιε' μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ιβ'.*

introducit, et, sive sit aurum a possessoribus solvendum vel aliud quid quibuslibet praefectis vel comiti thesaurorum vel delegatis conferendum, remissum est et publico simile est, licet agricolae vel conductores vel emphyteutae id debeant comiti patrimonii. Lege sequentem Nov. CXLVIII et CLXIII.

2. Quae curialibus vel exceptoribus... exiguntur, sive susceptores sive tractatores ea habeant... caverint vel fideiusserint vel scriniarii vel arcarii ... remissa sunt, scilicet a prima indictione.

3. Ab iis, qui foederaticia et militaria et civilia accipiunt, et ab operum discussoribus exiguntur nec remittuntur iis. *Data mense Maio anno XV post consulatum Basilii anno XII.*

Νεαρὰ ρμη'.

Περὶ λοιπάδων.

Ὅσα[1]) *περὶ τὰ κοινά.*

Ἡ παροῦσα διάταξις κελεύει συγχωρεῖσθαι τὰς λοιπάδας τῶν συντελεστῶν πάντων[2]) *ἕως η' ἰνδικτιῶνος. ἀνάγνωθι τὴν ρξγ' νεαράν.*

Ὑφεξῄρηνται τῆς προκειμένης διατάξεως αἱ FOEDERATIC*αὶ καὶ στρατιωτικαὶ ἀνόναι καὶ τὰ παρὰ τοῖς ὑποδέκταις ἢ ἀπαιτηταῖς ὄντα· ταῦτα γὰρ οὐ συγχωροῦνται. μέμνησο τῆς προλαβούσης ρμζ' νεαρᾶς.*

Τὸ κατὰ περιγραφὴν γινόμενον κατὰ τῶν συντελεστῶν ἄχρηστόν ἐστι καὶ οὐκ ἔῤῥωται. ἐξεφωνήθη ἐν τοῖς χρόνοις βασιλείας ἰουστινιανοῦ.

Novella CXLVIII.

De reliquis.

Quanta circa communes.

1. Praesens constitutio iubet remitti reliqua omnium collatorum usque ad VIII indictionem. Lege Nov. CLXIII.

2. Excipiuntur a praesenti constitutione foederaticiae et militares annonae et quae penes susceptores vel exactores sunt; haec enim non remittuntur. Memineris praecedentis Nov. CXLVII.

3. Quod in fraudem collatorum fit, inutile est et non valet. *Data tempore imperii Iustiniani.*

Νεαρὰ ρμθ'.

Περὶ τοῦ προῖκα γίνεσθαι τοὺς ἄρχοντας ὀνομασίᾳ τῶν κτητόρων ἀσφαλιζομένους τὸ δημόσιον [καὶ][1]) *μὴ δυναμένους τοῦτο ποιῆσαι προσιέναι βασιλεῖ διὰ τὴν τῶν δημοσίων εἴσπραξιν.*

Τῆς παρὰ τοῦ θεοῦ.

Ὁ ἐπίσκοπος καὶ οἱ κτήτορες αἰτείτωσαν ὃν δ' ἂν θέλωσιν ἄρχοντα, ἐφ' ᾧ αὐτὸν ἀρκεσθῆναι μόνον ταῖς οἰκείαις σιτήσεσιν. μέμνησο τῶν περὶ ἀρχόντων εἰρημένων νεαρῶν.

Ἐάν τις τῶν περὶ τοὺς ἄρχοντας ζημιώσει τινά, ἐκπιπτέτω τῆς ἰδίας οὐσίας καὶ τιμωρείσθω μέγιστα. μέ-

Novella CXLIX.

Ut gratis fiant praesides nominatione possessorum fisco cautionem praestantes, et ne hi, quum hoc facere possint, imperatorem propter tributorum exactionem adeant.

A Deo.

1. Episcopus et possessores quem voluerint petant praesidem, ut is annonis suis contentus sit. Memineris Novellarum supra relatarum de praesidibus.

2. Si quis eorum, qui circa praesides sunt, aliquem iniuria affecerit, substantia sua excidat et

---

2) Hoc caput valde corruptum est. Codex sic: *Ὅσα βούλεται ἢ ἐκλήπτορσιν ἀπαιτοῦνται κἂν ὑπόδεκται — ἔχωσι.. ὡμολ. κ. τ. λ.* — Nov. 147 cap. 1: „*εἰ γάρ τι φθάσαντες ἐκεῖνοι δεδώκασι, καὶ τοῦτο παρὰ βουλευταῖς τυχὸν ἢ ταξιώταις ἢ ὑποδέκταις ἢ ἐκλήπτορσιν ἢ καὶ παρὰ τοῖς τὰς ἐπαρχίας τρακτεύουσιν ἔμεινε, τοῦτο....ἀποσωθήσεται τῷ δημοσίῳ.*

1) Novella a verbo: *Ὅσην* incipit.

2) Cod. *συντελῶν πάκτων.*

1) Cod. *ἀσφαλιζομένων τὸ δημόσιον μὴ δυναμένους κ. τ. λ.* Vide Indicem Novv. not. 25.

μνησο τῆς η' νεαρᾶς, καὶ ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. μ' διάτ. ις' καὶ νεαρὰν ρξα'.

Ἐὰν ἀναβάλλονται οἱ ἐπίσκοποι καὶ οἱ κτήτορες αἰτῆσαι ὃν θέλουσιν ἄρχοντα, μὴ προσιέτωσαν βασιλεῖ χάριν τῶν γινομένων εἰς αὐτοὺς προφάσει τῆς τῶν δημοσίων ἀνύσεως.

Δεῖ τοὺς διὰ δεήσεως ὀνομαζομένους ἄρχοντας ἀσφαλίζεσθαι τὸ δημόσιον. ἐξεφωνήθη μηνὶ φεβρουαρίῳ ἔτει δ' τῆς βασιλείας ἰουστινιανοῦ[2]) *μετὰ τὴν ὑπατείαν αὐτοῦ τὸ β'.*

summis poenis afficiatur. Memineris Nov. VIII, et legas lib. I Cod. tit. 40 const. 16 et Nov. CLXI.

3. Episcopi et possessores si differant petere quem voluerint praesidem, imperatorem ne adeant ob ea, quae circa eos fiunt ob tributorum exactionem.

4. Praesides per preces nominati fisco cautionem praestare debeat. *Data mense Februario anno IV imperii Iustiniani post consulatum eius anno II.*

Νεαρὰ ρν'.

Περὶ τῆς γαμηθείσης τῷ ἁρπάσαντι αὐτήν.

Ἡ παροῦσα διάταξις βεβαιοῖ τὰς προειρημένας ποινὰς ἐν τῇ πρὸ αὐτῆς διατάξει. κελεύει γάρ, ἵνα μὴ ἡ ἁρπαγεῖσα κόρη γαμηθῇ[1]) *τῷ ἁρπάσαντι αὐτήν*[2]). *εἰ δὲ τοῦτο ποιήσῃ, οὐ διαδέχεται αὐτόν, κἂν*[3]) *οἱασδήποτε αἱρέσεως ἢ ἡλικίας εἴη. ἐὰν γὰρ μὴ συναφθῇ αὐτῷ, λήψεται τὴν οὐσίαν αὐτοῦ. μέμνησο τῆς ρμγ' νεαρᾶς.*

Ἐὰν ὁ[4]) *γονεὺς συναινέσει τῇ ἁρπαγείσῃ αὐτοῦ*[5]) *κόρῃ ἵνα συναφθῇ τῷ ἁρπάσαντι αὐτήν, δεπορτατεύεται*[6]) *ἤγουν ἐξορίζεται*[7]). *εἰ δὲ ἐτελεύτησεν μὴ συναινέσας, τότε φισκοῦται*[8]) *τὰ τοῦ ἅρπαγος*[9]) *πράγματα, δηλονότι συναφθείσης αὐτῷ*[10]) *τῆς κόρης· ὁ γὰρ*[11]) *τοιοῦτος γάμος ἄδεκτός*[12]) *ἐστιν. μέμνησο τῆς ρμγ' νεαρᾶς, καὶ ἀνάγνωθι βι. α' τοῦ κώδ. τί. γ' διάτ. νγ' καὶ βι. θ' τί. ιγ' διάτ. α'. ἐξεφωνήθη μηνὶ ἰουνίῳ ἔτει λζ' μετὰ ὑπατείαν βασιλείου τὸ κβ'.*

Novella CL.

De ea, quae raptori suo nubit.

1. Praesens constitutio confirmat poenas in anteriori constitutione statutas. Iubet enim, ne rapta puella nubat raptori suo: vel si id fecerit, ut ne ei succedat, cuiuscunque conditionis vel aetatis sit. Etenim si ei non nubat, substantiam eius capiet. Memineris Nov. CXLIII.

